



600108133M





ANALECTA CHRISTIANA

IN USUM TIRONUM EDIDIT


ET

ANNOTATIONIBUS ILLUSTRAVIT

C. MARRIOTT, M. A.

COLL. ORIEL. SOCIUS.

Οἱ μέν γε παῖδες σωμάτων· ψυχῆς δὲ ἔγγονοι οἱ λόγοι. Αὐτίκα πατέρας τοὺς κατηχήσαντας φαμέν. S. Cl. Al. Str. I.



OXONII:

EXCUDEBAT T. COMBE, ACADEMIÆ TYPOGRAPHUS, IMPENSIS EDITORIS,

VENEUNT APUD J. H. PARKER.

M.DCCC.XLIV.

REVERENDO ADMODUM IN CHRISTO PATRI

GEORGIO AUGUSTO

DEI GRATIA NOVÆ ZEALANDIÆ EPISCOPO.

CUM tibi, Præsul venerande, ad ultimos orbis terrarum fines proficiscenti jam pæne valedicerem, magnopere rogavi ut mihi opus aliquod injungeres in hoc nostro literarum genere quod in scholis tuis usui futurum esset. De quo postquam sæpius cum amico nostro τῷ μακαρίτῃ, itineris tui comite, collocutus essem, nihil in præsens utilius fore judicavimus quam si excerpta quædam e SS. Ecclesiæ Patribus, in unum volumen collecta, annotatiunculis illustrarem. Imprudens certe majora viribus meis aggressus sum, neque enim satis æstimaveram quanto judicio opus esset ad seligendam materiam, quanta rerum Divinarum atque humanarum scientia ad illustranda tam varia tantorum virorum scripta. Itaque cum nihil viderem ab aliis proferri omnino tironum lectioni accommodatum, non dubitavi hoc ipsum suscipere in quo jam cernis quantulum effecerim. Sin quædam notiora opuscula desideres, animadvertendum quod ista paulo provectioribus alibi legenda reliquerim,

malui enim pleraque ejusmodi exhibere quæ non nisi in libris majoris pretii inveniri possent. Unde etiam e Patrum Apostolicorum operibus parcius excerpsi, S. Justinum vero, atque opuscula a doctissimo Coll. S. Mar. Magd. Præside edita omnino prætermisi.

Consilium quidem meum ejusmodi erat ut in usum tironum, non criticorum, ederem; unde etiam perpauca de textu constituendo annotavi, nisi ubi necesse erat ut ab optimis exemplaribus discederem. In S. Athanasio quidem codicem ad manus habui a nemine adhuc collatum, cujus lectiones eo ipso interdum notavi quia in editis nullibi extarent; in cæteris editiones optimas secutus, delectum tamen aliquem lectionum habui. Aliorum annotationibus libere usus sum, quippe qui utilitati legentium consulerem, cui multa satis apte conducere videbantur; quæ tamen tota uti erant excerpseram plerumque unde deprompta essent significavi.

Annotationes quasdam historicas in usum rudiorum, necnon in locis difficilioribus, iisve quæ in sensus pravitatem detorqueri posse videbantur, explicationem vel admonitionem aliquam subjeci. Quæ tamen utinam accuratius et scientius perficere potuissem, cum multa subinde occurrant in quibus tum Theologiæ tum Philosophiæ haudquaquam mediocris desideretur notitia, quam etiam legendo quærere mihi vetitum erat, aliis negotiis impedito. Itaque contentus eram siquid alicubi utile haberem afferre, si deesset omnino materia locum intactum relinquere. Nec dubito quin hic illic errori obnoxius fuerim, cujus rei veniam multo faciliorem a doctioribus quam ab imperitis spero.

Ordinem quam maxime chronologicum secutus sum,

unde evenit ut difficiliora quædam facilioribus præmitterentur, velut ea quæ e S. Clemente Alexandrino excerpsimus. De his præsertim admonitos velim quicunque hoc libro ad juniorum exercitium uti velint, nempe quod etiamsi doctrina admodum simplici ipsisque rei Christianæ rudimentis instructa sint, possint tamen haud immerito post S. Athanasium, præ orationis difficultate, vel post ea quæ mox e S. Chrysostomo in secunda operis parte edenda sunt adhiberi.

De SS. Patrum Ecclesiæ studio prolixius disserere prælectoris est potius quam editoris. Illud modo in tali opere præfandum, ne quis eo animo accedat ut omnia statim in uno vel altero opusculo speret invenire. Mentem enim Ecclesiæ, quæ est Christi, nemo sine assiduo familiaritatis usu, nemo sine vitæ et morum sanctitate unquam perspexerit. Fidem antiquorum istorum vereque Christianorum hominum Theologia æque ac Philosophia hodierna stultitiam appellat. Multi sane eos ignorasse perhibent quæ ipsa imo corde recondita intimo semper affectu fovebant, quæque per totum eorum sermonem, si modo recte intellexeris, plenissimo veritatis lumine perlucent. Illud vero maxime in omnibus observandum, quod statum hominis Christiani tam magni semper æstiment, res autem terrenas nihili, nisi quatenus ad recte pieque vivendum possint conducere. Quod siquem fortasse primo aspectu fefellerit, vix fieri tamen posse arbitror ut non sentiat qui cum aliquo pietatis studio diutius lectioni istiusmodi operam dederit. Unde est etiam quod clero simplici et laborioso, quali in coloniis nostris opus est, SS. Patrum opera utilissima sunt habenda. In his enim contemplari possunt, quæ alibi nisi in SS. Scripturis frustra pæne

quæsiveris, eadem vitæ hominum ordinariæ atque ab assiduo miraculorum visu sejunctæ accommodata. Ab his et horum similibus jacta sunt passim Ecclesiarum fundamenta, regna paganorum conversa, Fides contra hæreticorum rabiem stabilita, sanctitas morum egregie conservata. Quæ quidem Gratiæ Divinæ miracula concedat et vobis in novi orbis incunabulis Gentis infantiæ lavacrum Spiritus impertientibus, et nobis inter tot sæculorum colluviem pœnitentiam nostram et proavorum agentibus videre, Qui Plenus Gratiæ et Veritatis habitavit in nobis, Cui cum Patre et Spiritu Sancto sit Laus, Gloria, Imperium in sæcula sæculorum. Amen.

Oxon. Sabbato Sancto, MDCCCXLIV.

INDEX AUCTORUM

EX QUIBUS PETITA SUNT QUÆ IN HAC PRIMA PARTE CONTINENTUR.

ANALECTA CHRISTIANA.

EUSEBII HISTORIÆ ECCLES.

ΒΙΒΛ. Β. ΚΕΦ. Θ.

Μαρτύριον Ἰακώβου τοῦ ἀποστόλου.

ΚΑΤ' ἐκεῖνον δὲ τὸν καιρὸν, δῆλον ὅτι ἐπὶ Κλαυδίου, Act. xii. 1.
ἐπέβαλεν ὁ βασιλεὺς Ἡρώδης τὰς χεῖρας, κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας· ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Περὶ τούτου δ' ὁ Κλήμης τοῦ Ἰακώβου καὶ ἱστορίαν μνήμης ἀξίαν ἐν τῇ τῶν ὑποτυπώσεων ἑβδόμῃ παρατίθεται, ὡς ἂν ἐκ παραδόσεως τῶν πρὸ αὐτοῦ φάσκων, ὅτι δὴ ὁ εἰσαγαγὼν αὐτὸν εἰς δικαστήριον, μαρτυρήσαντα αὐτὸν ἰδὼν, κινηθεὶς ὡμολόγησεν εἶναι καὶ αὐτὸς ἑαυτὸν Χριστιανόν. Συναπήχθησαν οὖν ἄμφω, φησὶ, καὶ κατὰ τὴν ὁδὸν ἠξίωσεν ἀφεθῆναι αὐτῷ ὑπὸ τοῦ Ἰακώβου. Ὁ δὲ ὀλίγον σκεψάμενος, "Εἰρήνη σοι," εἶπε, καὶ κατεφίλησεν

4. *ὁ Κλήμης*] S. Clemens Alexandrinus, qui post alios quosdam præceptores doctissimos, Pantænum tandem optimum veritatis doctorem nactus, dum ille iter Indicum ageret, scholæ Alexandrinæ regimen pro tempore suscepit, (A. D. 191.) mortuo autem magistro proprium obtinuit. Operis Institutionum, (v. 2 Tim. i. 13.) de quo hic agitur, fragmenta tantum extant.

7. *μαρτυρήσαντα*] Fidei scilicet professione. Sed quidam *μαρτυρήσοντα*.

10. *ἀφεθῆναι αὐτῷ*] Impersonaliter dictum, pro *ἀφεθῆναι τὸ ἀδίκημα*, nisi forte homo non baptizatus, vel post baptismum lapsus, universam absolutionem ab apostolo et martyre quæsiverit.

αὐτόν. Καὶ οὕτως ἀμφότεροι ὁμοῦ ἐκαρατομήθησαν. Το-
Act. xii. 13. τηνικαῦτα δὲ, ὥς φησιν ἡ θεία γραφὴ, ἰδὼν Ἡρώδης ἐπὶ τῇ τοῦ Ἰακώβου ἀναιρέσει, ὅτι δὴ πρὸς ἡδονῆς εἴη τὸ πραχθὲν τοῖς Ἰουδαίοις, ἐπιτίθεται καὶ Πέτρῳ, δεσμοῖς τε αὐτὸν παραδοὺς, ὅσον οὔπω καὶ τὸν κατ' αὐτοῦ φόνον ἐνήργησεν ἂν, εἰ μὴ διὰ θείας ἐπιφανείας ἐπιστάντος αὐτῷ νύκτωρ ἀγγέλου, παραδόξως τῶν εἱργμῶν ἀπαλλαγεὶς, ἐπὶ τὴν τοῦ κηρύγματος ἀφεῖται διακονίαν. Καὶ τὰ μὲν κατὰ Πέτρον οὕτως εἶχεν οἰκονομίας.

ΚΕΦ. Ι.

Ὡς Ἀγρίππας ὁ καὶ Ἡρώδης τοὺς ἀποστόλους διώξας, τῆς θείας παραυτίκα δίκης ᾔσθετο.

(Nic. H. E. II, 13.)

Τὰ δέ γε τῆς κατὰ τῶν ἀποστόλων ἐγχειρήσεως τοῦ βασιλέως οὐκέτ' ἀναβολῆς εἴχετο, ἀλλά γέτοι αὐτὸν ὁ τῆς θείας δίκης τιμωρὸς διάκονος μετῄει, παραυτίκα μετὰ τὴν
Act. xii. 19—23. τῶν ἀποστόλων ἐπιβουλὴν, ὡς ἡ τῶν πράξεων ἱστορεῖ γραφὴ, ὁρμήσαντα μὲν ἐπὶ τὴν Καισάρειαν, ἐν ἐπισήμῳ δ' ἐνταῦθα ἑορτῆς ἡμέρᾳ λαμπρᾷ καὶ βασιλικῇ κοσμησάμενον ἐσθῆτι, ὑψηλόν τε πρὸ βήματος δημηγορήσαντα· τοῦ γάρ τοι δήμου παντὸς ἐπευφημήσαντος ἐπὶ τῇ δημηγορίᾳ, ὡς ἐπὶ Θεοῦ φωνῇ καὶ οὐκ ἀνθρώπου, παραχρῆμα τὸ λόγιον πατάξαι αὐτὸν ἄγγελον Κυρίου ἱστορεῖ, γενόμενόν τε σκωληκόβρωτον ἐκψύξαι. Θαυμάσαι δ' ἄξιον τῆς περὶ τὴν θείαν γραφὴν καὶ ἐν τῷδε τῷ παραδόξῳ συμφωνίας τὴν τοῦ Ιωσήπου ἱστορίαν. Καθ' ἣν ἐπιμαρτυρῶν τῇ ἀληθείᾳ

16. ὅσον οὔπω] Statim. *Tantum non eo ipso tempore.*

17. ἐπιφανείας] Vox ista manifestationem magis sonat quam visionem. 1 Tim. vi. 14. 2 Tim. iv. 1.

20. οὕτως εἶχεν οἰκονομίας] *Ita se habebant quoad dispensationem,* scilicet divinam.

2. οὐκέτ' ἀναβολῆς εἴχετο] *Moram* (*ultionis*) *amplius non patiebantur.*

7. πρὸ βήματος] Latinum idioma, pro ἐπὶ τοῦ βήματος (Act. xii. 21. quod Græco more respicit actum considendi.) notat Valesius. Pro suggestu Cæs. B. G. vi. 3. pro tribunali. Cic. ad Div. iii. 8.

9. τὸ λόγιον] *Oraculum,* Rom. iii. 2. numero plurali, et sic frequentius. Citat vero Suicerus Justinum M. in Expositione Fidei scribentem τὸ θεῖον λόγιον eodem sensu. c. 6. operis quidem spurii. Sœpius num. sing. *textum* notat.

11, 12. τῆς—συμφωνίας] *Propter consensum.*

δῆλός ἐστιν ἐν τόμῳ τῆς ἀρχαιολογίας ἐννεακαιδεκάτῳ, ἔνθα αὐτοῖς γράμμασιν ὧδέ πως τὸ θαῦμα διηγεῖται· “ Τρίτον δ’ “ ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης Ἰουδαίας πεπλήρωτο, καὶ “ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ τὸ πρότερον Στράτωνος “ πύργος ἐκαλεῖτο. συνετέλει δ’ ἐνταῦθα θεωρίας εἰς τὴν “ Καίσαρος τιμὴν, ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα “ ταύτην ἐπιστάμενος. Καὶ παρ’ αὐτὴν ἤθροιστο τῶν “ κατὰ τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβεβηκότων εἰς ἀξίαν “ πλῆθος. Δευτέρᾳ δὲ τῶν θεωριῶν ἡμέρᾳ, στολὴν ἐνδυσά- “ μενος ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὑφὴν “ εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. Ἔνθα “ ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος “ καταυγασθεὶς θαυμασίως ἀπέστιλβε, μαρμαίρων τι φο- “ βερὸν καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι φρικῶδες. Εὐθὺς δὲ “ οἱ κόλακες τὰς οὐδ’ ἐκείνῳ πρὸς ἀγαθοῦ ἄλλος ἄλλοθεν “ φωνὰς ἀνεβόων, θεὸν προσαγορεύοντες, Εὐμενὴς τε εἴης, “ ἐπιλέγοντες· εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν, “ ἀλλὰ τοὐντεῦθεν κρείττονά σε θνητῆς τῆς φύσεως ὁμολο- “ γοῦμεν. Οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεὺς, οὐδὲ τὴν κο- “ λακείαν ἀσεβοῦσαν ἀπετρίψατο. Ἀνακύψας δὲ μετ’ “ ὀλίγον, τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθεζόμενον εἶδεν ἄγγε- “ λον. Τοῦτον εὐθὺς ἐνόησε κακῶν εἶναι αἴτιον, τὸν καὶ “ ποτὲ τῶν ἀγαθῶν γενόμενον, καὶ διακάρδιον ἔσχεν ὀδύνην.

15. *αὐτοῖς γράμμασιν*] Joseph. Antiq. xix. 8. Havercamp. p. 871. Ubi totum hunc locum cum Josephi textu collatum invenias.

18. *θεωρίας*] *Spectacula*, noto satis more apud Romanos deorum benevolentiam per ludos conciliandi.

20. *ἐπιστάμενος*] Festum scilicet quinquennale, ab avo Herode institutum, Olympd. cxci. 1. Joseph. Ant. xvi. 5. al. 9.

28. *πρὸς ἀγαθοῦ*] quasi ‘*ex parte boni.*’

29. *Εὐμενὴς τε εἴης*] Conf. Virg. Georg. I. 24.

31. *θνητῆς τῆς φύσεως*] Abest articulus a textu Josephi, qui tamen facile excidere posset, neque omnino sensu caret, cum *totam* videatur hominum naturam regis divinitati subjicere. *ἡ φύσις* interdum pro genere usurpatur.

33. *ἀπετρίψατο*] Ne sibi adhæreret.

Ib. apud Josephum sic legitur. *Ἀνακύψας δ’ οὖν μετ’ ὀλίγον τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπὲρ καθεζόμενον εἶδεν ἐπὶ σχοινίου τινός· ἄγγελόν τε τοῦτον εὐθὺς ἐνόησεν κακῶν εἶναι, τὸν καί ποτε κ. τ. λ.* Quod Josephus fortasse, more suo, paganorum mentibus accommodaverat, Eusebius, male anxius ne iisdem ludibrium præberet, aliquantum a litera detorsit. Ant. xviii. c. 7. (al. 8.) § 7. ejusmodi augurium narratur.

"Ἄθρουν δ' αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα, μετὰ σφοδρότητος ἀρξάμενον. Ἀναθεωρῶν οὖν πρὸς τοὺς φίλους, Ὁ θεὸς ὑμῖν ἐγὼ, φησὶν, ἤδη καταστρέφειν ἐπιτάττομαι τὸν βίον, παραχρῆμα τῆς εἱμαρμένης τὰς ἄρτι μου κατεψευσμένας φωνὰς ἐλεγχούσης. Ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν, ἤδη θανεῖν ἀπάγομαι. Δεκτέον δὲ τὴν πεπρωμένην, ᾗ θεὸς βεβούληται. Καὶ γὰρ βεβιώκαμεν οὐδαμῇ φαύλως, ἀλλ' ἐπὶ τῆς μακαριζομένης λαμπρότητος. Ταῦτα δὲ λέγων, ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο. Μετὰ σπουδῆς οὖν εἰς τὸ βασίλειον ἐκομίσθη, καὶ διῇξε λόγος εἰς πάντας, ὡς ἔχοι τοῦ τεθνάναι παντάπασι μετ' ὀλίγοι. Ἡ πληθὺς δ' αὐτίκα σὺν γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκον καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν θεὸν ἱκέτευον ὑπὲρ τοῦ βασιλέως· οἰμωγῆς τε πάντ' ἦν ἀνάπλεα καὶ θρήνων. Ἐν ὑψηλῷ δ' ὁ βασιλεὺς δωματίῳ κατακείμενος, καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας, ἄδακρυς οὐδ' αὐτὸς ἔμενεν. Συνεχῶς δ' ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι διεργασθεὶς, τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν ἔτος καὶ τέταρτον, τῆς δὲ βασιλείας ἕβδομον. Τέσσαρας μὲν οὖν ἐπὶ Γαΐου Καίσαρος ἐβασίλευσεν ἐνιαυτοὺς, τῆς Φιλίππου μὲν τετραρχίας εἰς τριετίαν ἄρξας, τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρώδου προσειληφὼς, τρεῖς δ' ἐπιλαβὼν τῆς Κλαυδίου Καίσαρος αὐτοκρατορίας." Ταῦτα τὸν Ἰώσηππον μετὰ τῶν ἄλλων ταῖς θείαις συναληθεύοντα γραφαῖς ἀποθαυμάζω. Εἰ δὲ περὶ τὴν τοῦ βασιλέως προσηγορίαν δόξειέ τισι διαφωνεῖν, ἀλλ' ὅγε χρόνος καὶ ἡ πρᾶξις τὸν αὐτὸν ὄντα δείκνυσιν, ἤτοι κατά τι σφάλμα γραφικὸν ἐνηλλαγμένου τοῦ ὀνόματος, ἢ καὶ διωνυμίας περὶ τὸν αὐτὸν, οἷα καὶ περὶ πολλοὺς, γεγενημένης.

47. ὡς ἔχοι] Ne textum nullo auctore sollicitemus, conf. Œd. Tyr. 345. ὡς ὀργῆς ἔχω: quæ locutio, satis quidem usitata, huic loco accommodari potest, vertendo '*quomodo se haberet circa moriendi propinquitatem.*'

58. Ἡρώδου] Intelligendus Herodes Antipas, Galileæ tetrarcha, a Caio in exilium actus. Joseph. xviii. 8.

62. διαφωνεῖν] Ignaris certe earum rerum hominibus consulit, quos nescire suspicatur Herodis nomen multorum fuisse communem.

ΚΕΦ. ΙΕ.

Περὶ τοῦ κατὰ Μάρκον εὐαγγελίου.

(Nic. H. E. II, 15.)

Οὕτω δὴ οὖν ἐπιδημήσαντος αὐτοῖς τοῦ θείου λόγου, ἡ μὲν τοῦ Σίμωνος ἀπέσβη καὶ παραχρῆμα σὺν καὶ τῷ ἀνδρὶ καταλέλυτο δύναμις, τοσοῦτο δ' ἐπέλαμψεν ταῖς τῶν ἀκροατῶν τοῦ Πέτρου διανοίαις εὐσεβείας φέγγος, ὡς μὴ τῇ εἰσάπαξ ἱκανῶς ἔχειν ἀρκεῖσθαι ἀκοῇ, μὴ δὲ τῇ ἀγράφῳ τοῦ θείου κηρύγματος διδασκαλίᾳ, παρακλήσεσι δὲ παντοίαις Μάρκον, οὗ τὸ εὐαγγελίον φέρεται, ἀκόλουθον ὄντα Πέτρου λιπαρῆσαι, ὡς ἂν καὶ διὰ γραφῆς ὑπόμνημα τῆς διὰ λόγου παραδοθείσης αὐτοῖς καταλείψοι διδασκαλίας, μὴ πρότερόν τε ἀνεῖναι, ἢ κατεργάσασθαι τὸν ἄνδρα, καὶ ταύτῃ αἰτίους γενέσθαι τῆς τοῦ λεγομένου κατὰ Μάρκον εὐαγγελίου γραφῆς. Γνόντα δὲ τὸ πραχθὲν φασὶ τὸν ἀπόστολον, ἀποκαλύψαντος αὐτῷ τοῦ πνεύματος, ἡσθῆναι τῇ τῶν ἀνδρῶν προθυμίᾳ, κυρῶσαί τε τὴν γραφὴν εἰς ἔντευξιν ταῖς ἐκκλησίαις, (Κλήμης ἐν ἕκτῳ τῶν ὑποτυπώσεων παρατέθειται τὴν ἱστορίαν, συνεπιμαρτυρεῖ δ' αὐτῷ καὶ ὁ Ἱεραπολίτης ἐπίσκοπος ὀνόματι Παπίας) τοῦ δὲ Μάρκου μνημονεύειν τὸν Πέτρον ἐν τῇ προτέρᾳ ἐπιστολῇ, ἣν καὶ συντάξαι φασὶν ἐπ' αὐτῆς Ῥώμης, σημαίνειν τε τοῦτ' αὐτὸν, τὴν πόλιν τροπικώτερον Βαβυλῶνα προσειπόντα διὰ τούτων· "Ἀσπάζεται ὑμᾶς ἡ "ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ υἱός μου." 1 Pet. v. 13.

1. ἐπιδημήσαντος] Scilicet Romanis, apud quos S. Petrus victoriam insignem de Mago reportaverat.

7. φέρεται] *Circumfertur.*

14. εἰς ἔντευξιν *In usum* τοῦ ἐντυγχάνειν, i. e. *Studiosius legendi.*

17. Παπίας] Hunc tradit S. Hieronymus, in libro de viris illustribus, Johannis auditorem fuisse, episcopum vero Hieropolitanum in Asia. Fragmenta operum habes initio Reliquiarum Sanctorum.

18. φασὶν] Scil. Plerique; non testes modo memorati. Vide Dissertationem II. Greswelli, qui Babylonem in Ægypto indicari putat, neque improbabile est S. Marcum a S. Petro Alexandriæ Episcopum constitutum fuisse.

ΚΕΦ. ΙϚ.

Ὡς πρῶτος Μάρκος τοῖς κατ' Αἴγυπτον τὴν εἰς τὸν Χριστὸν γνῶσιν ἐκήρυξεν.

(Nic. H. E. II, 15.)

Τοῦτον δὲ Μάρκον πρῶτον φασὶν ἐπὶ τῆς Αἰγύπτου στειλάμενον, τὸ εὐαγγέλιον ὃ δὴ καὶ συνεγράψατο κηρύξαι, ἐκκλησίας τε πρῶτον ἐπ' αὐτῆς Ἀλεξανδρείας συστήσασθαι. Τοσαύτη δ' ἄρα τῶν αὐτόθι πεπιστευκότων πληθὺς ἀνδρῶν τε καὶ γυναικῶν ἐκ πρώτης ἐπιβολῆς συνέστη, δι' ἀσκήσεως φιλοσοφωτάτης τε καὶ σφοδροτάτης, ὡς καὶ γραφῆς αὐτῶν ἀξιῶσαι τὰς διατριβὰς καὶ τὰς συνηλύσεις, τά τε συμπόσια, καὶ πᾶσαν τὴν ἄλλην τοῦ βίου ἀγωγὴν τὸν Φίλωνα.

ΚΕΦ. ΚΓ.

Ὡς ἐμαρτύρησεν Ἰάκωβος ὁ τοῦ Κυρίου χρηματίσας ἀδελφός.

(Nic. H. E. II, 38.)

Act. xxv. 10. I. Ἰουδαῖοι γεμὴν τοῦ Παύλου Καίσαρα ἐπικαλεσαμένου, ἐπί τε τὴν Ῥωμαίων πόλιν ὑπὸ Φήστου παραπεμφθέντος, τῆς ἐλπίδος καθ' ἣν ἐξήρτυνον αὐτῷ τὴν ἐπιβουλὴν, ἀποπεσόντες, ἐπὶ Ἰάκωβον τὸν τοῦ Κυρίου τρέπονται ἀδελφὸν, ᾧ πρὸς τῶν ἀποστόλων ὁ τῆς ἐπισκοπῆς τῆς ἐν Ἱεροσολύμοις ἐγκεχείριστο θρόνος. Τοιαῦτα δὲ αὐτοῖς καὶ τὰ κατὰ τούτου τολμήματα. Εἰς μέσον αὐτὸν ἀγαγόντες, ἄρνησιν τῆς εἰς τὸν Χριστὸν πίστεως ἐπὶ παντὸς ἐζήτουν τοῦ λαοῦ.

2. τὸ εὐαγγέλιον] Notandum est quod prima ætate Evangelium traditum ab Evangelio scripto vixdum separaverint Christiani, Historiam nempe, præsertim vero ipsa Servatoris verba, ediscere solebant.

6. γραφῆς] An vero *Therapeutæ* isti, quorum instituta a Philone referuntur, Christiani fuerint, merito dubitari potest. Neque enim quadrat narratio, nisi forte alienas res minus accurate tradiderit.

8. τὸν Φίλωνα] Philonem Judæum, Apostolorum coætaneum, Alexandrinum. Vir ille facundissimus, Platonis philosophiæ deditus, multa de sacris Scripturis exponendis allegorice scripsit. Legatus ad C. Cæsarem, postea etiam ad Claudium, pro Judæis Alexandrinis missus, a quibusdam fertur S. Petrum Romæ vidisse.

4. Ἰάκωβον] Alii Alphæi filium putant, alii extra duodecim Apostolorum numerum fuisse. Quantum vero honorem in Ecclesia obtinuerit e sacris Scripturis patet. Vid. Act. xii. 17. xv. 13, 19. xxi. 18. Gal. i. 19. (ubi apostolus appellatur) ii. 9, 12.

Τοῦ δὲ παρὰ τὴν ἁπάντων γνώμην ἐλευθέρᾳ φωνῇ καὶ μᾶλλον ἢ προσεδόκησαν ἐπὶ τῆς πληθύος ἁπάσης παρρησιασαμένου, καὶ ὁμολογήσαντος υἱὸν εἶναι τοῦ Θεοῦ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν, μηκέθ' οἷοί τε τὴν τοῦ ἀνδρὸς μαρτυρίαν φέρειν, τῷ καὶ δικαιότατον αὐτὸν παρὰ τοῖς πᾶσι δι' ἀκρότητα ἧς μετῄει κατὰ τὸν βίον φιλοσοφίας τε καὶ θεοσεβείας πιστεύεσθαι, κτείνουσι, καιρὸν εἰς ἐξουσίαν λαβόντες τὴν ἀναρχίαν, ὅτι δὴ τοῦ Φήστου κατ' αὐτὸ τοῦ καιροῦ ἐπὶ τῆς Ἰουδαίας τελευτήσαντος, ἄναρχα καὶ ἀνεπιτρόπευτα τὰ τῆς αὐτόθι διοικήσεως καθειστήκει. Τὸν δὲ τῆς τοῦ Ἰακώβου τελευτῆς τρόπον ἤδη μὲν πρότερον αἱ παρατεθεῖσαι τοῦ Κλήμεντος φωναὶ δεδηλώκασιν, ἀπὸ τοῦ πτερυγίου βεβλῆσθαι, ξύλῳ τε τὴν πρὸς θάνατον πεπλῆχθαι αὐτὸν ἱστορηκότος. Ἀκριβέστατά γε μὴν τὰ κατ' αὐτὸν ὁ Ἡγήσιππος, ἐπὶ τῆς πρώτης τῶν ἀποστόλων γενόμενος διαδοχῆς, ἐν τῷ πέμπτῳ αὐτοῦ ὑπομνήματι τοῦτον λέγων ἱστορεῖ τὸν τρόπον.

II. "Διαδέχεται δὲ τὴν ἐκκλησίαν μετὰ τῶν ἀπο-"στόλων ὁ ἀδελφὸς τοῦ Κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς "ὑπὸ πάντων δίκαιος ἀπὸ τῶν τοῦ Κυρίου χρόνων μέ-"χρι καὶ ἡμῶν· ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο. Οὗτος "δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν. Οἶνον καὶ σίκερα "οὐκ ἔπιεν, οὐδὲ ἔμψυχον ἔφαγε. Ξυρὸν ἐπὶ τὴν κεφαλὴν "αὐτοῦ οὐκ ἀνέβη, ἔλαιον οὐκ ἠλείψατο, καὶ βαλανείῳ οὐκ "ἐχρήσατο. Τούτῳ μόνῳ ἐξῆν εἰς τὰ ἅγια εἰσιέναι. Οὐδὲ

14. φιλοσοφίας] Nomine philosophiæ apud Christianos scriptores intelligitur plerumque non scientiæ modo, sed totius vitæ disciplina.

17. ἀνεπιτρόπευτα] Quippe ne legato quidem interim commissa erat provinciæ cura.

18. διοικήσεως] *Administrationis.* Serius instituta est divisio præfecturæ Orientalis in diœceses quinque, Orientem, Ægyptum, Asianam, Ponticam, Thraciam.

23. Ἡγήσιππος] Primus ille ecclesiasticam historiam scribere instituit, natus seculo secundo ineunte, decessit autem Commodo imperante. Operis fragmentum subjungimus.

7. βαλανείῳ] Absit ut Justum aquæ usu ad lavandum abstinuisse, vel corpore immundum in sancta putemus introisse, cum hoc a Judæorum more omnino abhorreat. Ex. xxx. 20. Lev. viii. 6. xvi. 4. S. Clemens quidem in Pædagogo, L. iii. c. 9. balnei usum frequentem improbat, utpote rem nimis luxuriosam; addit sine balneo corpus ablui posse.

8. εἰς τὰ ἅγια] Scilicet in *Sanctum*, non in Sanctum sanctorum. Soli autem licuisse dicitur quod non alio præter sacerdotes licebat.

“ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ σινδόνας. Καὶ μόνος εἰσήρχετο
“ εἰς τὸν ναὸν, ηὑρίσκετό τε κείμενος ἐπὶ τοῖς γόνασι, καὶ
“ αἰτούμενος ὑπὲρ τοῦ λαοῦ ἄφεσιν, ὡς ἀπεσκληκέναι τὰ
“ γόνατα αὐτοῦ δίκην καμήλου, διὰ τὸ ἀεὶ κάμπτειν προσκυ-
“ νοῦντα τῷ Θεῷ, καὶ αἰτεῖσθαι ἄφεσιν τῷ λαῷ. Διά γέτοι
“ τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ, ἐκαλεῖτο δίκαιος καὶ
“ ὠβλίας· ὅ ἐστιν Ἑλληνιστὶ περιοχὴ τοῦ λαοῦ καὶ δικαιο-
“ σύνη, ὡς οἱ προφῆται δηλοῦσι περὶ αὐτοῦ. Τινὲς οὖν τῶν ἑπτὰ
“ αἱρέσεων τῶν ἐν τῷ λαῷ, τῶν προγεγραμμένων μοι ἐν τοῖς
“ ὑπομνήμασιν, ἐπυνθάνοντο αὐτοῦ, τίς ἡ θύρα τοῦ Ἰησοῦ.
“ Καὶ ἔλεγε τοῦτον εἶναι τὸν Σωτῆρα. Ἐξ ὧν τινες ἐπί-
“ στευσαν, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστός. Αἱ δὲ αἱρέσεις αἱ
“ προειρημέναι οὐκ ἐπίστευον οὔτε ἀνάστασιν, οὔτε ἐρχόμε-
“ νον ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ὅσοι δὲ καὶ
“ ἐπίστευσαν, διὰ Ἰάκωβον. Πολλῶν οὖν καὶ τῶν ἀρχόν-
“ των πιστευόντων, ἦν θόρυβος τῶν Ἰουδαίων καὶ γραμμα-
“ τέων καὶ Φαρισαίων λεγόντων, ὅτι κινδυνεύει πᾶς ὁ λαὸς
“ Ἰησοῦν τὸν Χριστὸν προσδοκᾷν. Ἔλεγον οὖν συνελ-
“ θόντες τῷ Ἰακώβῳ, Παρακαλοῦμέν σε· ἐπίσχες τὸν λαὸν,
“ ἐπεὶ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ.
“ Παρακαλοῦμέν σε πεῖσαι πάντας τοὺς ἐλθόντας εἰς τὴν
“ ἡμέραν τοῦ πάσχα περὶ Ἰησοῦ. Σοὶ γὰρ πάντες πειθό-
“ μεθα. Ἡμεῖς γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαὸς, ὅτι

9. *σινδόνας*] His præceptum erat uti sacerdotibus quoties in templo ministrarent. Lev. xvi. 4. Ex. xliv. 17, 18. Ne autem mireris Christianum ita in Judæorum templo versatum, nota Act. ii. 46. v. 42. xxi. 18, 20, 26.

11. *ἀπεσκληκέναι*] *Induruisse*, cutem scilicet crassiorem habuisse, qualem cuivis corporis parti obducit perpetua attritio; præ duritie tamen pavimenti, et precibus pœne continuis, solito longe duriorem, quod in metallis etiam operando fieri solet.

15. *ὠβλίας*] De nominis hujus etymologia parum constat. Alludit העפל castelli cujusdam nomen in urbe Jerusalem, unde posset Ophliam sonare ‘castellum populi.’ Vid. Vales. ad loc. et Suicer. in voc.

16. *τῶν ἑπτὰ αἱρέσεων*] Eusebius, Libri iv. cap. 22, Hegesippum citat septem sectas Judæorum referentem, scilicet, præter notas illas tres, Galilæos, Hemerobaptistas, Masbothæos, Samaritanos.

18. *τίς ἡ θύρα*] Proverbium esse videtur, ortum fortasse ex portæ nomine, quod ipse sibi vindicabat Dominus. Joh. x. 9. Hebraice vero prolatum intelligi posset ‘*quænam salvatoris porta?*’ Respondet S. Petrus. Act. ii. 38.

32. *πρόσωπον οὐ λαμβάνεις*] Ita ad Dominum locutos legimus Herodianos, Matt. xxii. 16. unde probabile est in hac interrogatione malitiam latere.

" δίκαιος εἶ, καὶ ὅτι πρόσωπον οὐ λαμβάνεις. Πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλανᾶσθαι. Καὶ γὰρ πᾶς ὁ λαὸς καὶ πάντες πειθόμεθά σοι. Στῆθι οὖν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ᾖς ἐπιφανής, καὶ ᾖ εὐάκουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. Διὰ γὰρ τὸ πάσχα συνεληλύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν. Ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ναοῦ, καὶ ἔκραξαν αὐτῷ καὶ εἶπον, Δίκαιε, ᾧ πάντες πείθεσθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ. Καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ, Τί με ἐπερωτᾶτε περὶ Ἰησοῦ τοῦ υἱοῦ τοῦ ἀνθρώπου; καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Καὶ πολλῶν πληροφορηθέντων, καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου, καὶ λεγόντων ὡς ἀννὰ τῷ υἱῷ Δαβὶδ, τότε πάλιν οἱ αὐτοὶ γραμματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον, Κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ· ἀλλὰ ἀναβάντες, καταβάλωμεν αὐτὸν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ. Καὶ ἔκραξαν λέγοντες, ὢ ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη. Καὶ ἐπλήρωσαν τὴν γραφὴν τὴν ἐν τῷ Ἡσαΐᾳ γεγραμ- (Is. iii. 10. LXX.) μένην· Ἄρωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστί· τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Ἀναβάντες οὖν κατέβαλον τὸν δίκαιον, καὶ ἔλεγον ἀλλήλοις· Λιθάσωμεν Ἰάκωβον τὸν δίκαιον. Καὶ ἤρξαντο λιθάζειν αὐτὸν, ἐπεὶ καταβληθεὶς οὐκ ἀπέθανεν, ἀλλὰ στραφεὶς ἔθηκε τὰ γόνατα, λέγων, Παρακαλῶ, Κύριε Θεὲ πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. Οὕτω δὲ καταλιθοβολούντων αὐτὸν, εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ υἱοῦ Ῥαχαβεὶμ τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου τοῦ προφή- (Jer. xxxv. 18.) του, ἔκραζε λέγων, Παύσασθε· τί ποιεῖτε; εὔχεται ὑπὲρ

47. ὡς ἀννὰ] Sic legi in codicibus affirmat Valesius.

61. ἱερέων] Locum suspicantur quidam corruptum esse. Intelligit Valesius Rechab patris nomen esse, Rechabim autem generis, quomodo vero ex Rechabita sacerdos factus fuerit non explicat.

"ὑμῶν ὁ δίκαιος. Καὶ λαβών τις ἀπ' αὐτῶν εἷς τῶν κναφέων τὸ ξύλον ἐν ᾧ ἀπεπίεζε τὰ ἱμάτια, ἤνεγκε κατὰ τῆς κεφαλῆς τοῦ δικαίου. Καὶ οὕτως ἐμαρτύρησεν. Καὶ ἔθαψαν αὐτὸν ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ, καὶ ἔτι αὐτοῦ ἡ στήλη μένει παρὰ τῷ ναῷ. Μάρτυς οὗτος ἀληθὴς Ἰουδαίοις τε καὶ Ἕλλησι γεγένηται, ὅτι Ἰησοῦς ὁ Χριστός ἐστιν. Καὶ εὐθὺς Οὐεσπασιανὸς πολιορκεῖ αὐτούς."

III. Ταῦτα διὰ πλάτους συνῳδὰ τῷ Κλήμεντι καὶ ὁ Ἡγήσιππος. Οὕτω δὲ ἄρα θαυμάσιός τις ἦν, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἐπὶ δικαιοσύνῃ βεβόητο ὁ Ἰάκωβος, ὡς καὶ τοὺς Ἰουδαίων ἔμφρονας δοξάζειν, ταύτην εἶναι τὴν αἰτίαν τῆς παραχρῆμα μετὰ τὸ μαρτύριον αὐτοῦ πολιορκίας τῆς Ἱερουσαλὴμ, ἣν δι' οὐδὲν ἕτερον αὐτοῖς συμβῆναι, ἢ διὰ τὸ κατ' αὐτοῦ τολμηθὲν ἄγος. Ἀμέλει γέ τοι καὶ ὁ Ἰώσηπος οὐκ ἀπώκνησε καὶ τοῦτ' ἐγγράφως ἐπιμαρτύρασθαι, δι' ὧν φησι λέξεων· "Ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις, κατ' ἐκδίκησιν Ἰακώβου τοῦ δικαίου, ὃς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ· ἐπειδήπερ δικαιότατον αὐτὸν ὄντα οἱ Ἰουδαῖοι ἀπέκτειναν." Ὁ δ' αὐτὸς καὶ τὸν θάνατον αὐτοῦ ἐν εἰκοστῷ τῆς ἀρχαιολογίας δηλοῖ διὰ τούτων· "Πέμπει δὲ Καῖσαρ Ἀλβῖνον εἰς τὴν Ἰουδαίαν ἔπαρχον, Φήστου τὴν τελευτὴν πυθόμενος. Ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύνην εἴπομεν παρειληφέναι, θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς διαφερόντως. Αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν. Ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον, διὰ τὸ τεθνάναι μὲν Φῆστον, Ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν. Καὶ παραγαγὼν εἰς αὐτὸ τὸν

1. διὰ πλάτους] 'Paulo fusius.' Val.

9. Ταῦτα] Hæc, ab Origene citata, apud Josephum non reperiuntur. Posset quidem aliquis, memoria lapsus, ea quæ Josephus (l. xx. 6.) de sicariis dixerat ad aliam historiam devertere.

13. Πέμπει] Jos. Ant. xx. c. 8. Hæc Josephi non esse contendunt quidam, contra defendente doctissimo Pearsono.

18. ὠμοὶ] Conf. Ant. xiii. 10. φύσει πρὸς τὰς κολάσεις ἐπιεικῶς ἔχουσιν οἱ φαρισαῖοι. Christianis vero magis infestos fuisse Sadducæos patet ex Act. v. 34. xxiii. 9.

" ἀδελφὸν Ἰησοῦ τοῦ Χριστοῦ λεγομένου, Ἰάκωβος ὄνομα " αὐτῷ, καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν " ποιησάμενος, παρέδωκε λευσθησομένους. Ὅσοι δὲ ἐδόκουν " ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς " νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ. Καὶ πέμπουσι " πρὸς τὸν βασιλέα κρύφα, παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι " τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν· μὴ δὲ γὰρ τὸ πρῶτον " ὀρθῶς αὐτὸν πεποιηκέναι. Τινὲς δὲ αὐτῶν καὶ τὸν Ἀλβῖνον " ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα, καὶ " διδάσκουσιν, ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς αὐτοῦ " γνώμης καθίσαι συνέδριον. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λε- " γομένοις γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ, λήψεσθαι παρ' " αὐτοῦ δίκας ἀπειλῶν. Καὶ ὁ βασιλεὺς δὲ Ἀγρίππας διὰ " τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτοῦ ἄρξαντος " μῆνας τρεῖς, Ἰησοῦν τὸν τοῦ Δαμμαίου κατέστησεν." Τοιαῦτα καὶ τὰ κατὰ Ἰάκωβον, οὗ ἡ πρώτη τῶν ὀνομαζομένων καθολικῶν ἐπιστολῶν εἶναι λέγεται. Ἰστέον δὲ ὡς νοθεύεται μέν· οὐ πολλοὶ γοῦν τῶν παλαιῶν αὐτῆς ἐμνημόνευσαν, ὡς οὐδὲ τῆς λεγομένης Ἰούδα, μιᾶς καὶ αὐτῆς οὔσης τῶν ἑπτὰ λεγομένων καθολικῶν. Ὅμως δὲ ἴσμεν καὶ ταύτας μετὰ τῶν λοιπῶν ἐν πλείσταις δεδημοσιευμένας ἐκκλησίαις.

ΚΕΦ. ΚΔ.

Ὡς μετὰ Μάρκον πρῶτος ἐπίσκοπος τῆς Ἀλεξανδρέων ἐκκλησίας Ἀννιανὸς κατέστη.

(Nic. H. E. II, 15.)

Νέρωνος δὲ ὄγδοον ἄγοντος τῆς βασιλείας ἔτος, πρῶτος μετὰ Μάρκον τὸν εὐαγγελιστὴν τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας Ἀννιανὸς τὴν λειτουργίαν διαδέχεται.

25. παρέδωκε] Hegesippo contradicere videtur, nisi forte post hanc condemnationem a mitiore synedrii parte ereptus fuerit, sperantibus fore ut metu victus Christum negaret. Poterant etiam ironice dicere quæ apud Hegesippum feruntur dixisse.

40. νοθεύεται] Non spuriam esse, sed a quibusdam haberi ait, quod minime admirandum, cum non omnia ad omnes statim fuerint delata.

3. λειτουργίαν] *Rei Divinæ peragendæ officium*, præcipue vero S. Eucharistiæ. Vid. Can. SS. Apost. 29.

ΚΕΦ. ΚΕ.

Περὶ τοῦ κατὰ Νέρωνα διωγμοῦ, καθ' ὃν ἐπὶ Ῥώμης Παῦλος καὶ Πέτρος, τοῖς ὑπὲρ εὐσεβείας μαρτυρίοις κατεκοσμήθησαν.

(Nic. H. E. II, 34—37.)

Κραταιουμένης δὲ ἤδη τῷ Νέρωνι τῆς ἀρχῆς, εἰς ἀνοσίους ἐξοκείλας ἐπιτηδεύσεις, κατ' αὐτῆς ὡπλίζετο τῆς εἰς τὸν τῶν ὅλων Θεὸν εὐσεβείας. Γράφειν μὲν οὖν οἷός τις οὗτος γεγένηται τὴν μοχθηρίαν, οὐ τῆς παρούσης γένοιτ' ἂν σχολῆς. Πολλῶν γεμὴν τὰ κατ' αὐτὸν ἀκριβεστάταις παραδεδωκότων διηγήσεσι, πάρεστιν ὅτῳ φίλον, ἐξ αὐτῶν τὴν σκαιότητα τῆς τἀνδρὸς ἐκτόπου καταθεωρῆσαι μανίας, καθ' ἣν οὐ μετὰ λογισμοῦ, μυρίων ὅσων ἀπωλείας διεξελθὼν, ἐπὶ τοσαύτην ἤλασε μιαιφονίαν, ὡς μὴ δὲ τῶν οἰκειοτάτων τε καὶ φιλτάτων ἀποσχέσθαι, μητέρα δὲ ὁμοίως καὶ ἀδελφοὺς καὶ γυναῖκα σὺν καὶ ἄλλοις μυρίοις τῷ γένει προσήκουσι, τρόπον ἐχθρῶν καὶ πολεμίων, ποικίλαις θανάτων ἰδέαις διαχρήσασθαι. Ἐνέδει δὲ ἄρα τοῖς πᾶσι καὶ τοῦτ' ἐπιγραφῆναι αὐτῷ, ὡς ἂν πρῶτος αὐτοκρατόρων τῆς εἰς τὸ θεῖον εὐσεβείας πολέμιος ἀναδειχθείη. Τούτου δὲ πάλιν ὁ Ῥωμαῖος Τερτυλλιανὸς, ὧδέ πως λέγων μνημονεύει· "Ἐντύχετε τοῖς "ὑπομνήμασιν ὑμῶν. Ἐκεῖ εὑρήσετε πρῶτον Νέρωνα τοῦτο "τὸ δόγμα, ἡνίκα μάλιστα ἐν Ῥώμῃ τὴν ἀνατολὴν πᾶσαν "ὑποτάξας ὠμὸς ἦν εἰς πάντας, διώξαντα. Τοιούτῳ τῆς "κολάσεως ἡμῶν ἀρχηγῷ καυχώμεθα. Ὁ γὰρ εἰδὼς ἐκεῖνον, "νοῆσαι δύναται, ὡς οὐκ ἂν εἰ μὴ μέγα τι ἀγαθὸν ἦν, ὑπὸ

2. *ἐξοκείλας*] Quasi in scopulos.

10. *ἀδελφοὺς*] De fratre Britannico vide Tac. Ann. xiii. 15. De matre Agrippina. xiv. 8. De uxore Octavia. xiv. 64.

14. *τὸ θεῖον*] Loquendi formula apud SS. Patres minus usitata, philosophiam enim potius quam fidem sapere videtur.

16. *Τερτυλλιανὸς*] Ap. I. 3. p. 6. c. Presbyter erat Ecclesiæ Carthaginiensis, antea vero usque ad virilem ætatem ethnicus, acerrimi ingenii homo, et præ nimio fervore, cum a clero Romano contumeliam pati videretur, ad Montani pseudoprophetæ partes transgressus. Hanc apologiam post lapsum scripsit, anno circiter 207.

18. *δόγμα*] *Doctrinam*, unam enim fidem singulari appellatione significat.

21. *ὡς οὐκ ἂν*] Vertunt quidam, '*nihil aliud esse nisi magnum aliquid a Nerone damnari*,' scilicet propter infinitivum, invito tamen Tertulliano, qui scripserat, '*non nisi grande aliquod bonum a Nerone damnatum*.'

"Νέρωνος κατακριθῆναι." Ταύτῃ γοῦν οὗτος θεομάχος ἐν τοῖς μάλιστα πρῶτος ἀνακηρυχθεὶς, ἐπὶ τὰς κατὰ τῶν ἀποστόλων ἐπήρθη σφαγάς. Παῦλος δὴ οὖν ἐπ' αὐτῆς Ῥώμης τὴν κεφαλὴν ἀποτμηθῆναι, καὶ Πέτρος ὡσαύτως ἀνασκολοπισθῆναι κατ' αὐτὸν ἱστοροῦνται. Καὶ πιστοῦταί γε τὴν ἱστορίαν ἡ Πέτρου καὶ Παύλου εἰς δεῦρο κρατήσασα ἐπὶ τῶν αὐτόθι κοιμητηρίων πρόσρησις. Οὐδὲν δ' ἧττον καὶ ἐκκλησιαστικὸς ἀνὴρ Γάϊος ὄνομα, κατὰ Ζεφυρῖνον Ῥωμαίων γεγονὼς ἐπίσκοπον· ὃς δὴ Πρόκλῳ τῆς κατὰ Φρύγας προϊσταμένῳ γνώμης ἐγγράφως διαλεχθεὶς, αὐτὰ δὴ ταῦτα περὶ τῶν τόπων ἔνθα τῶν εἰρημένων ἀποστόλων τὰ ἱερὰ σκηνώματα κατατέθειται, φησίν· "Ἐγὼ δὲ τὰ τρόπαια τῶν ἀποστόλων ἔχω δεῖξαι. Ἐὰν γὰρ θελήσῃς ἀπελθεῖν ἐπὶ τὸν Βατικανὸν, ἢ ἐπὶ τὴν ὁδὸν τὴν Ὠστίαν, εὑρήσεις τὰ τρόπαια τῶν ταύτην ἱδρυσαμένων τὴν ἐκκλησίαν." Ὡς δὲ κατὰ τὸν αὐτὸν ἄμφω καιρὸν ἐμαρτύρησαν, Κορινθίων ἐπίσκοπος Διονύσιος ἐγγράφως Ῥωμαίοις ὁμιλῶν, ὧδέ πως παρίστησιν· "Ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Πέτρου καὶ Παύλου φυτείαν γενηθεῖσαν Ῥωμαίων τε καὶ Κορινθίων συνεκεράσατε. Καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φυτεύσαντες ἡμᾶς,

Imperfecta est constructio, sed non sine exemplo. Vid. Kühner, Gr. Gr. 771. 4, 5. qui Xenophontem citat: εἶδες, ὅτι, ὅσῳ ἂν πλείους συλλέγωσιν εἰς τὸ ἄστυ καὶ τὸν Πειραιᾶ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. Hell. II. 2. 2.

28. *κοιμητηρίων*] Nomen sepulcri Christianum, quippe non mortuis sed dormientibus destinati. De horum autem apostolorum cœmeterio legas S. Chrysostomum in fine ultimæ homiliæ in Ep. ad Romanos.

29. *Γάϊος*] De hoc viro vix aliud quidpiam accepimus præter ætatem et fragmenta operum, ea autem apud Routhium videas, initio tomi secundi.

Ib. *Ζεφυρῖνον*] Zephyrinus Romanæ Ecclesiæ Episcopatum tenuit ab anno 202 ad annum 218.

30. *Πρόκλῳ*] Montanista. Montani enim sectatores a loco Cataphrygios appellabant. Hi vero novam quandam prophetiam jactitantes, et vitam etiam ecclesiastica austeriorem, eo tandem insaniæ pervenerunt ut ducem hæreseos pro ipso Paracleto haberent.

33. *σκηνώματα*] Confer 2 Pet. i. 13, 14.

35. *Βατικανὸν*] *Vaticanum*, collem Janiculo a Septentrione adjacentem, in quo sita est S. Petri Basilica; S. Pauli autem extra muros urbis, a dextra Ostiam tendenti.

38. *Διονύσιος*] Corinthi Episcopatum gessit regnantibus Antonino et Commodo. Extant alia quædam epistolarum fragmenta apud Eusebium, quæ omnia in unum collegit Routhius. Rel. Sac. I. 167.

" ὁμοίως ἐδίδαξαν· ὁμοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ὁμόσε " διδάξαντες, ἐμαρτύρησαν κατὰ τὸν αὐτὸν καιρόν." Καὶ ταῦτα δὲ, ὡς ἂν ἔτι μᾶλλον πιστωθείη τὰ τῆς ἱστορίας.

ΒΙΒΛ. Δ. ΚΕΦ. ΚΓ.

Ἱστορία περὶ Ἰωάννου τοῦ ἀποστόλου.

(Nic. H. E. III, 11. II, 42.)

Ἐπὶ τούτοις κατὰ τὴν Ἀσίαν ἔτι τῷ βίῳ περιλειπόμενος, αὐτὸς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀπόστολος ὁμοῦ καὶ εὐαγγελιστὴς Ἰωάννης τὰς αὐτόθι διεῖπεν ἐκκλησίας, ἀπὸ τῆς κατὰ τὴν νῆσον μετὰ τὴν Δομετιανοῦ τελευτὴν ἐπανελθὼν φυγῆς. Ὅτι δὲ εἰς τούτους ἔτι τῷ βίῳ περιῆν, ἀπόχρη διὰ δύο πιστώσασθαι τὸν λόγον μαρτύρων. Πιστοὶ δ' ἂν εἶεν οὗτοι, τῆς ἐκκλησιαστικῆς πρεσβεύσαντες ὀρθοδοξίας, εἰ δὴ τοιοῦτοι Εἰρηναῖος καὶ Κλήμης ὁ Ἀλεξανδρεύς. Ὧν ὁ μὲν πρότερος ἐν δευτέρῳ τῶν πρὸς τὰς αἱρέσεις ὧδέ πως γράφει κατὰ λέξιν· " Καὶ πάντες οἱ πρεσβύτεροι μαρτυ- " ροῦσιν, οἱ κατὰ τὴν Ἀσίαν Ἰωάννῃ τῷ τοῦ Κυρίου μαθητῇ " συμβεβληκότες, παραδεδωκέναι τὸν Ἰωάννην. Παρέμεινε " γὰρ αὐτοῖς μέχρι τῶν Τραϊανοῦ χρόνων." Καὶ ἐν τρίτῳ δὲ τῆς αὐτῆς ὑποθέσεως ταὐτὸ τοῦτο δηλοῖ διὰ τούτων· " Ἀλλὰ καὶ ἡ ἐν Ἐφέσῳ ἐκκλησία ὑπὸ Παύλου μὲν τεθεμε- " λιωμένη, Ἰωάννου δὲ παραμείναντος αὐτοῖς μέχρι τῶν Τρα- " ϊανοῦ χρόνων, μάρτυς ἀληθής ἐστι τῆς τῶν ἀποστόλων " παραδόσεως." Ὁ δὲ Κλήμης ὁμοῦ καὶ τὸν χρόνον ἐπισημηνάμενος, καὶ ἱστορίαν ἀναγκαιοτάτην οἷς τὰ καλὰ καὶ ἐπωφελῆ φίλον ἀκούειν προστίθησιν, ἐν ᾧ, 'Τίς ὁ σωζόμενος πλούσιος,' ἐπέγραψεν αὐτοῦ συγγράμματι. Λαβὼν δὲ ἀνάγνωθι ὧδέ πως ἔχουσαν καὶ αὐτοῦ τὴν γραφήν·

1. Ἐπὶ τούτοις] *Horum ætate*, scilicet Episcoporum modo memoratorum, Ignatii Antiochiæ, Symeonis Hierosolymorum.

4. τὴν νῆσον] Patmon, quo relegatus erat a Domitiano anno regni IVto Christi vero 95. Ephesum rediit anno 97.

8. Εἰρηναῖος] Irenæus seculo II. ineunte natus, Polycarpi discipulus, postea vero Lugdunensis ecclesiæ presbyter, et post Pothinum Episcopus extitit. Scripta, præter libros contra hæreses quorum versionem Latinam habemus, Græce autem nihil nisi fragmenta, periere.

20. ἐν ᾧ] Articulus in relativo subaudiendus.

II. "Ἄκουσον μῦθον οὐ μῦθον, ἀλλὰ ὄντα λόγον, περὶ Ἰωάννου τοῦ ἀποστόλου παραδεδομένον, καὶ μνήμῃ πεφυλαγμένον. Ἐπειδὴ γὰρ τοῦ τυράννου τελευτήσαντος ἀπὸ τῆς Πάτμου τῆς νήσου μετῆλθεν εἰς τὴν Ἔφεσον, ἀπῄει παρακαλούμενος καὶ ἐπὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν, ὅπου μὲν ἐπισκόπους καταστήσων, ὅπου δὲ ὅλας ἐκκλησίας ἁρμόσων, ὅπου δὲ κλήρῳ ἕνα γέ τινα κληρώσων τῶν ὑπὸ τοῦ Πνεύματος σημαινομένων. Ἐλθὼν οὖν καὶ ἐπί τινα τῶν οὐ μακρὰν πόλεων, ἧς καὶ τοὔνομα λέγουσιν ἔνιοι, καὶ τἆλλα ἀναπαύσας τοὺς ἀδελφούς, ἐπὶ πᾶσι τῷ καθεστῶτι προσβλέψας ἐπισκόπῳ, νεανίσκον ἱκανὸν τῷ σώματι, καὶ τὴν ὄψιν ἀστεῖον, καὶ θερμὸν τὴν ψυχὴν ἰδών, Τοῦτον, ἔφη, σοὶ παρακατατίθεμαι μετὰ πάσης σπουδῆς, ἐπὶ τῆς ἐκκλησίας καὶ τοῦ Χριστοῦ μάρτυρος. Τοῦ δὲ δεχομένου καὶ πάνθ᾿ ὑπισχνουμένου, καὶ πάλιν τὰ αὐτὰ διελέγετο καὶ διεμαρτύρετο. Εἶτα ὁ μὲν ἀπῆρεν ἐπὶ τὴν Ἔφεσον, ὁ δὲ πρεσβύτερος ἀναλαβὼν οἴκαδε τὸν παραδοθέντα νεανίσκον, ἔτρεφε, συνεῖχεν, ἔθαλπε, τὸ τελευταῖον ἐφώτισε. Καὶ μετὰ τοῦτο, ὑφῆκε τῆς πλείονος ἐπιμελείας καὶ παραφυλακῆς, ὡς τὸ τέλειον αὐτῷ φυλακτήριον ἐπιστήσας τὴν σφραγῖδα τοῦ Κυρίου. Τῷ δὲ ἀνέσεως πρὸ ὥρας λαβομένῳ προσφθείρονταί τινες ἥλικες ἀργοὶ καὶ ἀπερρωγότες, ἐθάδες κακῶν. Καὶ πρῶτον μὲν δι᾿ ἑστιάσεων πολυτελῶν αὐτὸν ἐπάγονται, εἶτά που καὶ νύκτωρ ἐπὶ λωποδυσίαν ἐξιόντες συνεπάγονται, εἶτά τι καὶ μεῖζον συμπράττειν ἠξίουν. Ὁ δὲ κατολίγον προσειθίζετο. Καὶ διὰ μέγεθος φύσεως, ἐκστὰς ὥσπερ ἄστομος καὶ εὔρωστος ἵππος ὀρθῆς

II. 7. κλήρῳ] In clerum, Christi scilicet specialem inter ipsos Fideles sortem atque hæreditatem, lecturus. Quod vero a Spiritu significatos dicit, rem notat Apostolorum certè temporibus haud insolitam. Cf. 1 Tim. i. 18.

9. τοὔνομα] Smyrnam vocat hanc urbem auctor Chronici Alexandrini. *Val.*

10. ἐπὶ πᾶσι] *Omnibus* quasi *finem imponens.*

11. ἱκανὸν] *Grandem.*

13. ἐπὶ] *Coram.*

17. πρεσβύτερος] quippe Episcopis commune erat nomen Presbyteri, sicut etiam Apostolis. c. 1 Pet. v. 1.

18. ἐφώτισε] *Baptizavit.*

22. ἀπερρωγότες] *Abrupti* scil. ab omni bona disciplina, Angl. *abandoned.*

" ὁδοῦ, καὶ τὸν χαλινὸν ἐνδακὼν, μειζόνως κατὰ τῶν βαρά-
" θρων ἐφέρετο. Ἀπογνοὺς δὲ τελέως τὴν ἐν Θεῷ σωτη-
" ρίαν, οὐδὲν ἔτι μικρὸν διενοεῖτο, ἀλλὰ μέγα τι πράξας,
" ἐπειδήπερ ἅπαξ ἀπολώλει, ἴσα τοῖς ἄλλοις παθεῖν ἠξίου.
" Αὐτοὺς δὴ τούτους ἀναλαβὼν, καὶ λῃστήριον συγκροτή-
" σας, ἕτοιμος λῄσταρχος ἦν, βιαιότατος, μιαιφονώτατος,
" χαλεπώτατος.

III. " Χρόνος ἐν μέσῳ, καί τινος ἐπιπεσούσης χρείας, ἀνα-
" καλοῦσι τὸν Ἰωάννην. Ὁ δὲ, ἐπεὶ τὰ ἄλλα ὧν χάριν
" ἧκε κατεστήσατο, Ἄγε δὴ, ἔφη, ὦ ἐπίσκοπε, τὴν παρα-
" καταθήκην ἀπόδος ἡμῖν, ἣν ἐγώ τε καὶ ὁ Χριστός
" σοι παρακατεθέμεθα ἐπὶ τῆς ἐκκλησίας, ἧς προκαθέζῃ,
" μάρτυρος. Ὁ δὲ τὸ μὲν πρῶτον ἐξεπλάγη, χρήματα
" οἰόμενος ἅπερ οὐκ ἔλαβε συκοφαντεῖσθαι, καὶ οὔτε πι-
" στεύειν εἶχεν ὑπὲρ ὧν οὐκ εἶχεν, οὔτε ἀπιστεῖν Ἰωάννῃ.
" Ὡς δὲ, Τὸν νεανίσκον, εἶπεν, ἀπαιτῶ καὶ τὴν ψυχὴν τοῦ
" ἀδελφοῦ, στενάξας κάτωθεν ὁ πρεσβύτης, καί τι καὶ
" ἐπιδακρύσας, Ἐκεῖνος, ἔφη, τέθνηκε. Πῶς καὶ τίνα θά-
" νατον; Θεῷ τέθνηκεν, εἶπεν· ἀπέβη γὰρ πονηρὸς καὶ ἐξώ-
" λης, καὶ τὸ κεφάλαιον, λῃστής. Καὶ νῦν ἀντὶ τῆς ἐκκλη-
" σίας τὸ ὄρος κατείληφε μεθ' ὁμοίου στρατιωτικοῦ. Κα-
" ταρρηξάμενος οὖν τὴν ἐσθῆτα ὁ ἀπόστολος, καὶ μετὰ
" μεγάλης οἰμωγῆς πληξάμενος τὴν κεφαλὴν, Καλόν γε,
" ἔφη, φύλακα τῆς τἀδελφοῦ ψυχῆς κατέλιπον. Ἀλλ'
" ἵππος ἤδη μοι παρέστω, καὶ ἡγεμὼν γινέσθω μοί τις
" τῆς ὁδοῦ. Ἤλαυνεν, ὥσπερ εἶχεν, αὐτόθεν ἀπὸ τῆς ἐκ-
" κλησίας. Ἐλθὼν δὲ εἰς τὸ χωρίον, ὑπὸ τῆς προφυλακῆς
" τῶν λῃστῶν ἁλίσκεται, μήτε φεύγων, μήτε παραιτούμενος,
" ἀλλὰ βοῶν, Ἐπὶ τοῦτ' ἐλήλυθα, ἐπὶ τὸν ἄρχοντα ὑμῶν
" ἀγάγετέ με. Ὃς τέως ὥσπερ ὥπλιστο, ἀνέμενεν. Ὡς
" δὲ προσιόντα ἐγνώρισε τὸν Ἰωάννην, εἰς φυγὴν αἰδεσθεὶς

28. βαράθρων] *Præcipitia.*
31. ἴσα παθεῖν] *Æquam sortem obire.*
III. 7. συκοφαντεῖσθαι] Se quasi repetundarum reum fieri, de pecunia quam nunquam accepisset.
12. ἀπέβη] *Evasit.*
23. τέως] *Tamdiu,* scilicet, *donec Apostolum agnosceret.*

"ἐτράπετο. Ὁ δὲ ἐδίωκεν ἀνὰ κράτος, ἐπιλαθόμενος τῆς ἡλικίας τῆς ἑαυτοῦ, κεκραγὼς, Τί με φεύγεις, τέκνον, τὸν σεαυτοῦ πατέρα, τὸν γυμνὸν, τὸν γέροντα; ἐλέησόν με τέκνον, μὴ φοβοῦ. Ἔχεις ἔτι ζωῆς ἐλπίδα. Ἐγὼ Χριστῷ λόγον δώσω ὑπὲρ σοῦ, ἂν δέῃ· τὸν σὸν θάνατον ἑκὼν ὑπομενῶ, ὡς ὁ Κύριος τὸν ὑπὲρ ἡμῶν. Ὑπὲρ σοῦ τὴν ψυχὴν ἀντιδώσω τὴν ἐμήν. Στῆθι, πίστευσον, Χριστός με ἀπέστειλεν. Ὁ δὲ ἀκούσας, πρῶτον μὲν ἔστη κάτω βλέπων, εἶτα ἔρριψε τὰ ὅπλα, εἶτα τρέμων ἔκλαιε πικρῶς. Προσελθόντα δὲ τὸν γέροντα περιέλαβεν, ἀπολογούμενος ταῖς οἰμωγαῖς ὡς ἐδύνατο, καὶ τοῖς δάκρυσι βαπτιζόμενος ἐκ δευτέρου, μόνην ἀποκρύπτων τὴν δεξιάν. Ὁ δ' ἐγγυώμενος, ἐπομνύμενος, ὡς ἄφεσιν αὐτῷ παρὰ τοῦ Σωτῆρος ηὕρηται, δεόμενος, γονυπετῶν, αὐτὴν τὴν δεξιὰν ὡς ὑπὸ τῆς μετανοίας κεκαθαρμένην καταφιλῶν, ἐπὶ τὴν ἐκκλησίαν ἐπανήγαγε. Καὶ δαψιλέσι μὲν εὐχαῖς ἐξαιτούμενος, συνεχέσι δὲ νηστείαις συναγωνιζόμενος, ποικίλαις δὲ ῥήσεσι λόγων κατεπᾴδων αὐτοῦ τὴν γνώμην, οὐ πρότερον ἀπῆλθεν, ὥς φασι, πρὶν αὐτὸν ἀποκατέστησε τῇ ἐκκλησίᾳ, διδοὺς μέγα παράδειγμα μετανοίας ἀληθινῆς, καὶ μέγα γνώρισμα παλιγγενεσίας, τρόπαιον ἀναστάσεως βλεπομένης."

ΒΙΒΛ. Γ. ΚΕΦ. ΛΓ.

Ὅπως Τραϊανὸς ζητεῖσθαι Χριστιανοὺς ἐκώλυσεν.

(Nic. H. E. III, 17.)

Τοσοῦτός γε μὴν ἐν πλείοσι τόποις ὁ καθ' ἡμῶν ἐπετάθη

31 ἀντιδώσω] Voluntatem significat qualem S. Paulus Rom. ix. 3. una cum fiducia quam habebat, nihil sibi negatum iri ita roganti, modo ne juvenis omnino recusaret.

36. βαπτιζόμενος] Alterum quasi Baptisma lacrymarum sæpius indicant SS. Patres.

Ibid. δεξιάν] Quippe cædibus inquinatam.

37. ἐπομνύμενος] Quali affirmatione utitur S. Paulus in causa Fidei et Caritatis. Rom. ix. 1. 2 Cor. i. 23.

38. ηὕρηται] Aut rem sibi revelatam indicat, quod quidem probabilius videtur, aut certissimam Divinæ clementiæ fiduciam.

43. ἀποκατέστησε] Per publicam scilicet pœnitentiam, neque enim statim qui antea baptizatus fuerat ex latrone fidelis habebatur.

45. παλιγγενεσίας] *Vis Divinæ homines ad novam vitam erigentis,* quam in Baptismo quidem acceptam amiserat, postea vero per alterum lacrymarum Baptismum receperat.

τότε διωγμὸς, ὡς Πλίνιον Σεκοῦνδον ἐπισημότατον ἡγεμόνων, ἐπὶ τῷ πλήθει τῶν μαρτύρων κινηθέντα, βασιλεῖ κοινώσασθαι περὶ τοῦ πλήθους τῶν ὑπὲρ τῆς πίστεως ἀναιρουμένων, ἅμα δ' ἐν ταὐτῷ μηνῦσαι, μηδὲν ἀνόσιον μηδὲ παρὰ τοὺς νόμους πράττειν αὐτοὺς κατειληφέναι, πλὴν τό γε ἅμα τῇ ἕῳ διεγειρομένους, τὸν Χριστὸν Θεοῦ δίκην ὑμνεῖν, τὸ δὲ μοιχεύειν καὶ φονεύειν, καὶ τὰ συγγενῆ τούτοις ἀθέμιτα πλημμελήματα, καὶ αὐτοὺς ἀπαγορεύειν, πάντα τε πράττειν ἀκολούθως τοῖς νόμοις. Πρὸς ἃ τὸν Τραϊανὸν δόγμα τοιόνδε τεθεικέναι, τὸ Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μὲν, ἐμπεσὸν δὲ κολάζεσθαι· οὗ γενομένου, ποσῶς μὲν τοῦ διωγμοῦ σβεσθῆναι τὴν ἀπειλὴν σφοδρότατα ἐγκειμένου, οὐ χείρονάς γε μὴν τοῖς κακουργεῖν περὶ ἡμᾶς ἐθέλουσι λείπεσθαι προφάσεις, ἔσθ' ὅπη μὲν τῶν δήμων, ἔσθ' ὅπη δὲ καὶ τῶν κατὰ χώρας ἀρχόντων, τὰς καθ' ἡμῶν συσκευαζομένων ἐπιβουλὰς, ὡς καὶ ἄνευ προφανῶν διωγμῶν, μερικοὺς κατ' ἐπαρχίαν ἐξάπτεσθαι, πλείους τε τῶν πιστῶν διαφόροις ἐναγωνίζεσθαι μαρτυρίοις. Εἴληπται δ' ἡμῖν ἡ ἱστορία, ἐξ ἧς ἀνωτέρω δεδηλώκαμεν τοῦ Τερτυλλιανοῦ Ῥωμαϊκῆς ἀπολογίας, ἧς ἡ ἑρμηνεία τοῦτον ἔχει τὸν τρόπον· “Καίτοι εὑρήκαμεν καὶ τὴν εἰς ἡμᾶς ἐπιζήτησιν κεκωλυμένην. Πλίνιος γὰρ Σεκοῦνδος ἡγούμενος τῆς ἐπαρχίου, κατακρίνας Χριστιανούς τινας καὶ τῆς ἀξίας ἐκβαλὼν, ταραχθεὶς τῷ πλήθει, διηγνόει τί αὐτῷ λοιπὸν εἴη πρακτέον. Τραϊανῷ οὖν τῷ βασιλεῖ ἀνεκοινώσατο λέγων, ἔξω τοῦ μὴ βούλεσθαι αὐτοὺς εἰδωλολατρεῖν, οὐδὲν ἀνόσιον ἐν αὐτοῖς εὑρηκέναι. Ἐμήνυε δὲ καὶ τοῦτο, ἀνίστασθαι ἕωθεν τοὺς Χριστιανοὺς, καὶ τὸν Χριστὸν Θεοῦ δίκην ὑμνεῖν, καὶ πρὸς τὸ τὴν ἐπιστήμην αὐτῶν διαφυλάσσειν, κωλύεσθαι φονεύειν,

2. Πλίνιον Σεκοῦνδον] Junior scilicet, cujus Epistolas habemus, interque eas hanc mox citandam una cum rescripto Imperatoris. lib. x. 97, 98.

3. βασιλεῖ] Trajano, qui imperium sibi a Nerva destinatum ab anno 98 ad annum Domini 117 feliciter sustinuit.

9. καὶ αὐτοὺς] scil. non minus quam Ethnicos, qui talia Christianis imputabant.

20. ἀνωτέρω] L. II. C. 2.

Ibid. Ῥωμαϊκῆς] *Latine scriptæ.*

24. τῆς ἀξίας] dignitate quam habebant sæculari.

30. ἐπιστήμην] *Disciplinam.*

"μοιχεύειν, πλεονεκτεῖν, ἀποστερεῖν καὶ τὰ τούτοις ὅμοια. "Πρὸς ταῦτα ἀντέγραψε Τραϊανὸς, τὸ τῶν Χριστιανῶν "φῦλον μὴ ἐκζητεῖσθαι μὲν, ἐμπεσὸν δὲ κολάζεσθαι." Καὶ ταῦτα μὲν ἐν τούτοις ἦν.

ΚΕΦ. Λϛ.

Περὶ Ἰγνατίου καὶ τῶν ἐπιστολῶν αὐτοῦ.

(Nic. H. E. III, 29.)

Διέπρεπε γεμὴν κατὰ τούτους ἐπὶ τῆς Ἀσίας τῶν ἀποστόλων ὁμιλητὴς Πολύκαρπος, τῆς κατὰ Σμύρναν ἐκκλησίας πρὸς τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ Κυρίου τὴν ἐπισκοπὴν ἐγκεχειρισμένος. Καθ' ὃν ἐγνωρίζετο Παπίας τῆς ἐν Ἱεραπόλει παροικίας καὶ αὐτὸς ἐπίσκοπος, ἀνὴρ τὰ πάντα ὅτι μάλιστα λογιώτατος καὶ τῆς γραφῆς εἰδήμων, ὅ τε παρὰ πλείστοις εἰσέτι νῦν διαβόητος Ἰγνάτιος, τῆς κατ' Ἀντιόχειαν Πέτρου διαδοχῆς δεύτερος τὴν ἐπισκοπὴν κεκληρωμένος. Λόγος δ' ἔχει τοῦτον ἀπὸ Συρίας ἐπὶ τὴν Ῥωμαίων πόλιν ἀναπεμφθέντα θηρίων γενέσθαι βορὰν τῆς εἰς Χριστὸν μαρτυρίας ἕνεκεν· καὶ δὴ τὴν δι' Ἀσίας ἀνακομιδὴν μετ' ἐπιμελεστάτης φρουρῶν φυλακῆς ποιούμενος, τὰς κατὰ πόλιν αἷς ἐπεδήμει παροικίας ταῖς διὰ λόγων ὁμιλίαις τε καὶ προτροπαῖς ἐπιρρωννὺς, ἐν πρώτοις μάλιστα προφυλάττεσθαι τὰς αἱρέσεις ἄρτι τότε πρῶτον ἀναφυείσας καὶ ἐπιπολαζούσας παρῄνει, προὔτρεπέ τε ἀπρὶξ ἔχεσθαι τῆς τῶν ἀποστόλων παραδόσεως, ἣν ὑπὲρ ἀσφαλείας καὶ ἐγγράφως ἤδη μαρτυρόμενος διατυποῦσθαι ἀναγκαῖον ἡγεῖτο. Οὕτω δῆτα ἐν Σμύρνῃ γενόμενος, ἔνθα ὁ Πολύκαρπος ἦν, μίαν μὲν τῇ κατὰ τὴν Ἔφεσον ἐπιστολὴν ἐκκλησίᾳ γράφει, ποιμένος αὐτῆς μνημονεύων Ὀνησίμου, ἑτέραν δὲ τῇ ἐν Μαγνησίᾳ

2. Πολύκαρπος] Smyrnæ Episcopatum obtinuit usque ad martyrium, de quo Epistolam habemus Ecclesiæ Smyrnensis, simplici quadam gravitate ornatissimam.

4. Ἱεραπόλει] Urbs erat Phrygiæ prope Laodicæam ad Mæandrum sita.

7. Ἰγνάτιος] Genuinum Epistolarum ejus textum, qui diu latuerat, vulgatis interea epistolis interpolatis, doctissimo et laboriosissimo opere Vindiciarum Ignatianarum tuetur Pearsonus, Cot. Patr. Ap. tom. 2.

17. Παραδόσεως] Totam scilicet Doctrinam apostolicam, cujus partem quam ipso illo tempore labefactum ibant hæretici accuratius describendam curavit.

τῇ πρὸς Μαιάνδρῳ, ἔνθα πάλιν ἐπισκόπου Δάμα μνήμην πεποίηται· καὶ τῇ ἐν Τράλλεσι δὲ ἄλλην, ἧς ἄρχοντα τότε ὄντα Πολύβιον ἱστορεῖ. Πρὸς ταύταις καὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ γράφει, ᾗ καὶ παράκλησιν προτείνει, ὡς μὴ παραιτησάμενοι τοῦ μαρτυρίου, τῆς ποθουμένης αὐτὸν ἀποστερήσαιεν ἐλπίδος. Ἐξ ὧν καὶ βραχύτατα εἰς ἐπίδειξιν τῶν εἰρημένων παραθέσθαι ἄξιον· Γράφει δὴ οὖν κατὰ λέξιν· "Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ διὰ γῆς καὶ "θαλάσσης, νυκτὸς καὶ ἡμέρας, ἐνδεδεμένος δέκα λεοπάρδοις, "ὅ ἐστι στρατιωτικὸν τάγμα, οἳ καὶ εὐεργετούμενοι, χεί-"ρους γίνονται. Ἐν δὲ τοῖς ἀδικήμασι αὐτῶν μᾶλλον "μαθητεύομαι, ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι. Ὀναί-"μην τῶν θηρίων τῶν ἐμοὶ ἑτοίμων· ἃ καὶ εὔχομαι σύντομά "μοι εὑρεθῆναι, ἃ καὶ κολακεύσω συντόμως με καταφαγεῖν, "οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο· κἂν αὐτὰ "δὲ ἄκοντα μὴ θέλῃ, ἐγὼ προσβιάσομαι. Συγγνώμην μοι "ἔχετε. Τί μοι συμφέρει, ἐγὼ γινώσκω. Νῦν ἄρχομαι "μαθητὴς εἶναι. Μηδέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ ἀορά-"των, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω· πῦρ καὶ σταυρὸς, θη-"ρίων τε συστάσεις, σκορπισμοὶ ὀστέων, συγκοπαὶ μελῶν, "ἀλεσμοὶ ὅλου τοῦ σώματος, κολάσεις τοῦ διαβόλου εἰς "ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω."

II. Καὶ ταῦτα μὲν ἀπὸ τῆς δηλωθείσης πόλεως ταῖς καταλεχθείσαις ἐκκλησίαις διετυπώσατο. Ἤδη δ' ἐπέκεινα τῆς Σμύρνης γενόμενος, ἀπὸ Τρωάδος τοῖς τε ἐν Φιλαδελφείᾳ αὖθις διὰ γραφῆς ὁμιλεῖ, καὶ τῇ Σμυρναίων ἐκκλησίᾳ ἰδίως τε τῷ ταύτης προηγουμένῳ Πολυκάρπῳ· ὃν οἷα δὴ ἀποστολικὸν ἄνδρα εὖ μάλα γνωρίζων, τὴν κατ' Ἀντιόχειαν αὐτῷ ποίμνην

31. *τάγμα*] Ordo quidam militum erat eo nomine insignitus. Vocabulum eo tempore usitatum fuisse contendit Pearsonus contra Dallæum Vind. Ign. c. 8. sed melius legitur *στρατιωτῶν*, vide notam Jacobsoni Ign. ad Rom. V. qui etiam recte intelligit non ordinem militum sed numerum hic significari.

33. *οὐ παρὰ τοῦτο δεδικαίωμαι*] Conf. 1 Cor. iv. 4. Significare videtur S. Ignatius se nondum corona potitum, qualem indicat S. Paulus 2. Tim. iv. 6, 8.

39. *ζηλῶσαι*. *Sit mihi nihil æmulari*, sin legas *ζηλώσαι*, vel cum optimo codice *ζηλώσῃ*, interpretandum videtur *ne quid mihi invideat*.

42. *κολάσεις τοῦ διαβόλου*] Scilicet a diabolo illatæ, velut in Jobum.

ὡς ἂν γνήσιος καὶ ἀγαθὸς ποιμὴν παρατίθεται, τὴν περὶ αὐτῆς φροντίδα διὰ σπουδῆς ἔχειν αὐτὸν ἀξιῶν. Ὁ δ' αὐτὸς Σμυρναίοις γράφων, οὐκ οἶδ' ὁπόθεν ῥητοῖς συγκέχρηται, τοιαῦτά τινα περὶ τοῦ Χριστοῦ διεξιών· "Ἐγὼ δὲ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα, καὶ πιστεύω ὄντα. Καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἐλήλυθεν, ἔφη αὐτοῖς, Λάβετε, ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον· καὶ εὐθὺς αὐτοῦ ἥψαντο, καὶ ἐπίστευσαν." Οἶδε δὲ αὐτοῦ τὸ μαρτύριον καὶ ὁ Εἰρηναῖος, καὶ τῶν ἐπιστολῶν αὐτοῦ μνημονεύει λέγων οὕτως· "Ὡς εἶπέ τις τῶν ἡμετέρων διὰ τὴν πρὸς Θεὸν μαρτυρίαν κατακριθεὶς πρὸς θηρία, ὅτι σῖτός εἰμι Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ." Καὶ ὁ Πολύκαρπος δὲ τούτων αὐτῶν μέμνηται ἐν τῇ φερομένῃ αὐτοῦ πρὸς Φιλιππησίους ἐπιστολῇ, φάσκων αὐτοῖς ῥήμασι· "Παρακαλῶ οὖν πάντας ὑμᾶς πειθαρχεῖν καὶ ἀσκεῖν πᾶσαν ὑπομονήν, ἣν εἴδετε κατ' ὀφθαλμοὺς οὐ μόνον ἐν τοῖς μακαρίοις Ἰγνατίῳ καὶ Ῥούφῳ καὶ Ζωσίμῳ, ἀλλὰ καὶ ἐν ἄλλοις τοῖς ἐξ ὑμῶν, καὶ ἐν αὐτῷ Παύλῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις, πεπεισμένους ὅτι οὗτοι πάντες οὐκ εἰς κενὸν ἔδραμον, ἀλλ' ἐν πίστει καὶ δικαιοσύνῃ, καὶ ὅτι εἰς τὸν ὀφειλόμενον αὐτοῖς τόπον εἰσὶ παρὰ Κυρίῳ, ᾧ καὶ συνέπαθον. Οὐ γὰρ τὸν νῦν ἠγάπησαν αἰῶνα, ἀλλὰ τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα, καὶ δι' ἡμᾶς ὑπὸ τοῦ Θεοῦ ἀναστάντα." Καὶ ἑξῆς ἐπιφέρει· "Ἐγράψατέ μοι καὶ ὑμεῖς καὶ Ἰγνάτιος, ἵνα ἐάν τις ἀπέρχηται εἰς Συρίαν, καὶ τὰ παρ' ὑμῶν ἀποκομίσῃ γράμματα. Ὅπερ ποιήσω, ἐὰν λάβω καιρὸν εὔθετον, εἴτε ἐγώ, εἴτε ὃν πέμπω πρεσβεύσοντα καὶ περὶ ὑμῶν. Τὰς ἐπιστολὰς Ἰγνατίου τὰς πεμφθείσας ἡμῖν ὑπ' αὐτοῦ, καὶ ἄλλας ὅσας εἴχομεν παρ' ἡμῖν, ἐπέμψαμεν ὑμῖν καθὼς

7. Παρατίθεται] Non quo ipse regendam susciperet, sed quo dignum aliquem martyri subrogandum curaret.

9. ὁπόθεν] Nempe a S. Petro potuit audivisse, sed conferendus S. Lucas xxiv. 39.

12. τοὺς περὶ] Vel Petrum solum indicat, vel potius Apostolos Petro præsente.

20. φερομένῃ, *quæ adhuc circumfertur.*

32. Συρίαν] Ubi erat Antiochia, S. Ignatii patria.

"ἐνετείλασθε. Αἵτινες ὑποτεταγμέναι εἰσὶ τῇ ἐπιστολῇ "ταύτῃ· ἐξ ὧν μεγάλα ὠφεληθῆναι δυνήσεσθε. Περιέχουσι "γὰρ πίστιν καὶ ὑπομονὴν καὶ πᾶσαν οἰκοδομὴν τὴν εἰς τὸν "Κύριον ἡμῶν ἀνήκουσαν." Καὶ τὰ μὲν περὶ τὸν Ἰγνάτιον τοιαῦτα. Διαδέχεται δὲ μετ' αὐτὸν τὴν Ἀντιοχείας ἐπισκοπὴν Ἥρως.

ΚΕΦ. ΛΖ.

Περὶ τῶν εἰσέτι τότε διαπρεπόντων εὐαγγελιστῶν.

(Nic. H. E. III, 21.)

Τῶν δὲ κατὰ τούτους διαλαμψάντων καὶ Κοδράτος ἦν. Ὃν ἅμα ταῖς Φιλίππου θυγατράσι προφητικῷ χαρίσματι λόγος ἔχει διαπρέψαι. Καὶ ἄλλοι δ' ἐπὶ τούτους πλείους ἐγνωρίζοντο κατὰ τούσδε, τὴν πρώτην τάξιν τῆς τῶν ἀποστόλων ἐπέχοντες διαδοχῆς· οἳ καὶ ἅτε τηλικῶνδε ὄντες διαπρεπεῖς μαθηταὶ, τοὺς κατὰ πάντα τόπον τῶν ἐκκλησιῶν προκαταβληθέντας ὑπὸ τῶν ἀποστόλων θεμελίους ἐπῳκοδόμουν, αὔξοντες εἰς πλέον τὸ κήρυγμα, καὶ τὰ σωτήρια σπέρματα τῆς τῶν οὐρανῶν βασιλείας ἀνὰ πᾶσαν εἰς πλάτος ἐπισπείροντες τὴν οἰκουμένην. Καὶ γὰρ δὴ πλεῖστοι τῶν τότε μαθητῶν σφοδροτέρῳ φιλοσοφίας ἔρωτι πρὸς τοῦ θείου λόγου τὴν ψυχὴν πληττόμενοι, τὴν σωτήριον πρότερον ἀπεπλήρουν παρακέλευσιν, ἐνδεέσι νέμοντες τὰς οὐσίας. Ἔπειτα δὲ ἀποδημίας στελλόμενοι, ἔργον ἐπετέλουν εὐαγγελιστῶν, τοῖς ἔτι πάμπαν ἀνηκόοις τοῦ τῆς πίστεως λόγου κηρύττειν τὸν Χριστὸν φιλοτιμούμενοι, καὶ τὴν τῶν θείων εὐαγγελίων παραδιδόναι γραφήν. Οὗτοι δὲ θεμελίους τῆς πίστεως ἐπὶ ξένοις τισὶ τόποις αὐτὸ μόνον καταβαλλόμενοι, ποιμένας τε καθιστάντες ἑτέρους, τούτοις τε αὐτοῖς ἐγχειρίζοντες τὴν τῶν ἀρτίως εἰσαχθέντων γεωργίαν, ἑτέρας αὐτοὶ

1. Κοδράτος] Quadratus, Athenarum ut videtur Episcopus, cujus Apologiam citat Eusebius l. iv. c. 3. ubi testatur complures a Domino morbis liberatos aut etiam ad vitam revocatos suis temporibus superstites fuisse. Vid. Rel. Sac. t. 1. P. 70.

2. Φιλίππου] Vid. Eus. L. III. C. 39. Ubi Philippi filias Hierapoli tradit vixisse, et Papiæ notas fuisse.

11. φιλοσοφίας] Vid. not. ad p. 7. l. 14.

12. λόγου] Operationem indicat Verbi coessentialis, sed ejusmodi quæ per verbum prædicatum peragatur.

ibid. σωτήριον] Adjective pro genitivo Σωτῆρος.

πάλιν χώρας τε καὶ ἔθνη μετῄεσαν, σὺν τῇ ἐκ Θεοῦ χάριτι καὶ συνεργίᾳ, ἐπεὶ καὶ τοῦ θείου Πνεύματος εἰσέτι τότε δι' αὐτῶν πλεῖσται παράδοξοι δυνάμεις ἐνήργουν, ὥστε ἀπὸ πρώτης ἀκροάσεως ἀθρόως αὔτανδρα πλήθη προθύμως τὴν εἰς τὸν τῶν ὅλων δημιουργὸν εὐσέβειαν ἐν ταῖς αὐτῶν ψυχαῖς καταδέχεσθαι. 'Αδυνάτου δ' ὄντος ἡμῖν ἅπαντας ἐξ ὀνόματος ἀπαριθμεῖσθαι, ὅσοι ποτὲ κατὰ τὴν πρώτην τῶν ἀποστόλων διαδοχὴν ἐν ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις γεγόνασι ποιμένες ἢ καὶ εὐαγγελισταὶ, τούτων εἰκότως ἐξ ὀνόματος γραφῇ μόνων τὴν μνήμην κατατεθείμεθα, ὧν ἔτι καὶ νῦν εἰς ἡμᾶς δι' ὑπομνημάτων τῆς ἀποστολικῆς διδασκαλίας ἡ παράδοσις φέρεται· ὥσπερ οὖν ἀμέλει τοῦ 'Ιγνατίου ἐν αἷς κατελέξαμεν ἐπιστολαῖς, καὶ τοῦ Κλήμεντος ἐν τῇ ἀνωμολογημένῃ παρὰ πᾶσιν, ἣν ἐκ προσώπου τῆς 'Ρωμαίων ἐκκλησίας τῇ Κορινθίων διετυπώσατο. 'Εν ᾗ τῆς πρὸς 'Εβραίους πολλὰ νοήματα παραθεὶς, ἤδη δὲ καὶ αὐτολεξεὶ ῥητοῖς τισὶν ἐξ αὐτῆς χρησάμενος, σαφέστατα παρίστησιν ὅτι μὴ νεὸν ὑπάρχει τὸ σύγγραμμα. ῞Οθεν εἰκότως ἔδοξεν αὐτὸ τοῖς λοιποῖς ἐγκαταλεχθῆναι γράμμασι τοῦ ἀποστόλου. 'Εβραίοις γὰρ διὰ τῆς πατρίου γλώττης ἐγγράφως ὡμιληκότος τοῦ Παύλου, οἱ μὲν τὸν εὐαγγελιστὴν Λουκᾶν, οἱ δὲ τὸν Κλήμεντα τοῦτον αὐτὸν ἑρμηνεῦσαι λέγουσι τὴν γραφήν. ῝Ο καὶ μᾶλλον ἂν εἴη ἀληθὲς, τῷ τὸν ὅμοιον τῆς φράσεως χαρακτῆρα τήν τε τοῦ Κλήμεντος ἐπιστολὴν καὶ τὴν πρὸς 'Εβραίους ἀποσώζειν, καὶ τῷ μὴ πόρρω τὰ ἐν ἑκατέροις τοῖς συγγράμμασι νοήματα καθεστάναι.

24. *αὔτανδρα*] Dicitur plerumque de navi cum ipsis navigantibus capta vel submersa. Hic vero multitudinem significat cum ipsis adeoque omnibus hominibus conversam.

33. Κλήμεντος] Romani post Linum S. Petri successorem Episcopi. Euseb. L. iii. c. 4. Epistolam genuinam primam, dubiam etiam secundam habemus inter Patrum Apostolicorum opera.

38. *εἰκότως*] Conjunge cum *ἐγκαταλεχθῆναι, jure* enim adscriptum testatur.

ΒΙΒΛ. Δ. ΚΕΦ. ΙΑ.

Περὶ τῶν κατ' αὐτοὺς αἱρεσιαρχῶν.
(Nic. H. E. III, 4.)

Ὁ δὲ αὐτὸς οὗτος Ἰουστῖνος, καὶ πρὸς Ἕλληνας ἱκανώτατα πονήσας, καὶ ἑτέρους λόγους ὑπὲρ τῆς ἡμετέρας πίστεως ἀπολογίαν ἔχοντας βασιλεῖ Ἀντωνίνῳ τῷ δὴ ἐπικληθέντι Εὐσεβεῖ, καὶ τῇ Ῥωμαίων συγκλήτῳ βουλῇ, προσφωνεῖ. Καὶ γὰρ ἐπὶ τῆς Ῥώμης τὰς διατριβὰς ἐποιεῖτο. Ἐμφαίνει δὲ ἑαυτὸν ὅστις καὶ πόθεν ἦν, διὰ τῆς ἀπολογίας ἐν τούτοις.

ΚΕΦ. ΙΒ.

Περὶ τῆς Ἰουστίνου πρὸς Ἀντωνῖνον ἀπολογίας.
(Nic. H. E. III, 26—32.)

" Αὐτοκράτορι Τίτῳ Αἰλίῳ Ἀδριανῷ Ἀντωνίνῳ Εὐσεβεῖ " Καίσαρι Σεβαστῷ, καὶ Οὐηρισσίμῳ υἱῷ φιλοσόφῳ, καὶ " Λουκίῳ φιλοσόφου Καίσαρος φύσει υἱῷ, καὶ Εὐσεβοῦς " εἰσποιητῷ, ἐραστῇ παιδείας, ἱερᾷ τε συγκλήτῳ καὶ παντὶ " δήμῳ Ῥωμαίων, ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ἀδί- " κως μισουμένων καὶ ἐπηρεαζομένων, Ἰουστῖνος Πρίσκου " τοῦ Βακχείου, τῶν ἀπὸ Φλαυίας νέας πόλεως τῆς Συ- " ρίας Παλαιστίνης, εἷς αὐτῶν, τὴν προσφώνησιν καὶ ἔν- " τευξιν πεποίημαι." Ἐντευχθεὶς δὲ καὶ ὑφ' ἑτέρων ὁ αὐτὸς βασιλεὺς ἐπὶ τῆς Ἀσίας ἀδελφῶν, παντοίαις ὕβρεσι πρὸς τῶν ἐπιχωρίων δήμων καταπονουμένων, τοιαύτης ἠξίωσε τὸ κοινὸν τῆς Ἀσίας διατάξεως.

ΚΕΦ. ΙΓ.

Ἀντωνίνου πρὸς τὸ κοινὸν τῆς Ἀσίας ἐπιστολὴ περὶ τοῦ καθ' ἡμᾶς λόγου.
(Nic. H. E. III, 28.)

" Αὐτοκράτωρ Καῖσαρ Μάρκος Αὐρήλιος Ἀντωνῖνος " Σεβαστὸς, Ἀρμένιος, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξου-

1. Εὐσεβεῖ] Titus Ælius Antoninus quem Pium vocant, ab Adriano adoptatus anno 138 imperium suscepit.

7. Φλαυίας] *Cæsareæ.*

1. Ἀντωνῖνος] M. Aurel. Antoninus Imperator Philosophiæ Stoicorum studiosissimus. Regnavit ab anno 161 ad 180. Cujus edictum Eusebius male priori Antonino adscribit.

2. δημαρχικῆς] *Tribuniciæ,* quippe hoc nomine Imperatores intercedendi in Senatu jus obtinebant. Vide Tac. An. I. 2, 7, 13.

"σίας τὸ πέμπτον καὶ τὸ δέκατον, ὕπατος τὸ τρίτον, τῷ "κοινῷ τῆς Ἀσίας χαίρειν. Ἐγὼ μὲν οἶδα ὅτι καὶ τοῖς "θεοῖς ἐπιμελές ἐστι, μὴ λανθάνειν τοὺς τοιούτους. Πολὺ "γὰρ μᾶλλον ἐκεῖνοι κολάσαιεν ἂν τοὺς μὴ βουλομένους "αὐτοὺς προσκυνεῖν, ἢ ὑμεῖς. Οὓς εἰς ταραχὴν ἐμβάλλετε, "βεβαιοῦντες τὴν γνώμην αὐτῶν ἥνπερ ἔχουσιν, ὡς ἀθέων "κατηγοροῦντες. Εἴη δ' ἂν κἀκείνοις αἱρετὸν τὸ δοκεῖν "κατηγορουμένοις τεθνάναι μᾶλλον, ἢ ζῆν, ὑπὲρ τοῦ οἰκείου "θεοῦ. Ὅθεν καὶ νικῶσι, προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς, "ἤπερ πειθόμενοι οἷς ἀξιοῦτε πράττειν αὐτούς. Περὶ δὲ "τῶν σεισμῶν τῶν γεγονότων καὶ γινομένων οὐκ ἄτοπον "ὑμᾶς ὑπομνῆσαι, ἀθυμοῦντας μὲν ὅταν περ ὦσι, παρα-"βάλλοντας δὲ τὰ ἡμέτερα πρὸς τὰ ἐκείνων. Οἱ μὲν οὖν "εὐπαρρησιαστότεροι γίνονται πρὸς τὸν θεὸν, ὑμεῖς δὲ "παρὰ πάντα τὸν χρόνον καθ' ὃν ἀγνοεῖν δοκεῖτε, τῶν τε "θεῶν καὶ τῶν ἄλλων ἀμελεῖτε, καὶ τῆς θρησκείας τῆς περὶ "τὸν ἀθάνατον, ὃν δὴ τοὺς Χριστιανοὺς θρησκεύοντας "ἐλαύνετε καὶ διώκετε ἕως θανάτου. Ὑπὲρ δὲ τῶν τοιού-"των, ἤδη καὶ πολλοὶ τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων καὶ "τῷ θειοτάτῳ ἡμῶν ἔγραψαν πατρί· οἷς καὶ ἀντέγραψε "μηδὲν ἐνοχλεῖν τοῖς τοιούτοις, εἰ μὴ φαίνοιντό τι περὶ "τὴν Ῥωμαίων ἡγεμονίαν ἐγχειροῦντες. Καὶ ἐμοὶ δὲ "περὶ τῶν τοιούτων πολλοὶ ἐσήμαναν, οἷς δὴ καὶ ἀντέ-"γραψα, κατακολουθῶν τῇ τοῦ πατρὸς γνώμῃ. Εἰ δέ τις "ἐπιμένοι τινὰ τῶν τοιούτων εἰς πράγματα φέρων ὡς δὴ "τοιοῦτον, ἐκεῖνος ὁ καταφερόμενος ἀπολελύσθω τοῦ ἐγ-"κλήματος, καὶ ἐὰν φαίνηται τοιοῦτος ὤν, ὁ δὲ καταφέρων "ἔνοχος ἔσται δίκης. Προετέθη ἐν Ἐφέσῳ ἐν τῷ κοινῷ "τῆς Ἀσίας." Τούτοις οὕτω χωρήσασιν ἐπιμαρτυρῶν Μελίτων τῆς ἐν Σάρδεσιν ἐκκλησίας ἐπίσκοπος, κατ' αὐτὸ γνωριζόμενος τοῦ χρόνου, δῆλός ἐστιν ἐκ τῶν εἰρημένων

17. καθ' ὃν] hæc merito viris doctis suspecta habentur, quorum unus conjicit καὶ Θεὸν ἀγνοεῖν δοκεῖτε, τῶν τε ναῶν καὶ τῶν ἄλλων ἱερῶν ἀμελεῖτε, nec male.

22. πατρί] Antonino Pio, patri adoptivo.

32. Μελίτων] de quo plura l. iv. c. 26. Operum quæ supersunt fragmenta habes in Reliq. Sacr. t. 1. p. 107.

αὐτῷ ἐν ᾗ πεποίηται πρὸς αὐτοκράτορα Οὐῆρον ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος χρησιμωτάτῃ ἀπολογίᾳ.

ΚΕΦ. ΙΔ.

Τὰ περὶ Πολυκάρπου τοῦ τῶν ἀποστόλων γνωρίμου μνημονευόμενα.

(Nic. H. E. III, 30.)

Ἐπὶ δὲ τῶν δηλουμένων, Ἀνικήτου τῆς Ῥωμαίων ἐκκλησίας ἡγουμένου, Πολύκαρπον ἔτι περιόντα τῷ βίῳ γενέσθαι τε ἐπὶ Ῥώμης, καὶ εἰς ὁμιλίαν τῷ Ἀνικήτῳ ἐλθεῖν διά τι ζήτημα περὶ τῆς κατὰ τὸ Πάσχα ἡμέρας, Εἰρηναῖος ἱστορεῖ. Καὶ ἄλλην δὲ ὁ αὐτὸς περὶ τοῦ Πολυκάρπου παραδίδωσι διήγησιν, ἣν ἀναγκαῖον τοῖς περὶ αὐτοῦ δηλουμένοις ἐπισυνάψαι, οὕτως ἔχουσαν. Ἀπὸ τοῦ τρίτου τῶν πρὸς τὰς αἱρέσεις Εἰρηναίου "Καὶ Πολύκαρπος δὲ οὐ μόνον ὑπὸ ἀποστό-"λων μαθητευθεὶς, καὶ συναναστραφεὶς πολλοῖς τοῖς τὸν "Κύριον ἑωρακόσιν, ἀλλὰ καὶ ὑπὸ ἀποστόλων κατασταθεὶς "εἰς τὴν Ἀσίαν ἐν τῇ ἐν Σμύρνῃ ἐκκλησίᾳ ἐπίσκοπος, ὃν "καὶ ἡμεῖς ἑωράκαμεν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ. Ἐπιπολὺ "γὰρ παρέμεινε, καὶ πάνυ γηραλέος, ἐνδόξως καὶ ἐπιφανέ-"στατα μαρτυρήσας, ἐξῆλθε τοῦ βίου, ταῦτα διδάξας ἀεὶ, ἃ "καὶ παρὰ τῶν ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ ἐκκλησία πα-"ραδίδωσιν, ἃ καὶ μόνα ἐστὶν ἀληθῆ. Μαρτυροῦσι τούτοις "αἱ κατὰ τὴν Ἀσίαν ἐκκλησίαι πᾶσαι, καὶ οἱ μέχρι νῦν δια-"δεδεγμένοι τὸν Πολύκαρπον, πολλῷ ἀξιοπιστότερον καὶ "βεβαιότερον ἀληθείας μάρτυρα ὄντα, Οὐαλεντίνου καὶ "Μαρκίωνος καὶ τῶν λοιπῶν κακογνωμόνων, ὃς καὶ ἐπὶ

4. Πάσχα] De hac controversia fusius disserit Mosheim. De Rebus Christianorum. Sec. II. N°. LXXI. In regulam qua nunc utimur concordarunt Ecclesiæ in concilio Nicæno. De temporum observatione, per se quidem non necessaria, sed propter unitatem Ecclesiæ retinenda, optime S. Chrys. Hom. III. contr. Jud.

12. ἡλικίᾳ] *prima* scilicet *virili ætate*, uti videtur.

19. Οὐαλεντίνου] Valentinum, in Ægypto natum, postquam episcopatus spe excidisset, ab Ecclesia recessisse a Tertulliano accepimus. Miras iste deorum atque æonum genealogias excogitavit. Christum cælesti quodam corpore, nec vere humano fuisse. Romæ ante medium seculum secundum viguit.

20. Μαρκίωνος] Marcion a patre Episcopo Sinopensi propter stuprum excommunicatus, Romam se contulit. Ibi vero non receptus, Cerdonis hæresin amplexus est. Dæmonem alium bonum, alium malum, legis datorem, docebat. S. Justinus, in Apologia secunda, adhuc docentem memorat.

“ Ἀνικήτου ἐπιδημήσας τῇ Ῥώμῃ πολλοὺς ἀπὸ τῶν προειρη- “ μένων αἱρετικῶν ἐπέστρεψεν εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, “ μίαν καὶ μόνην ταύτην ἀλήθειαν κηρύξας ὑπὸ τῶν ἀποστό- “ λων παρειληφέναι, τὴν ὑπὸ τῆς ἐκκλησίας παραδεδομένην. “ Καὶ εἰσὶν οἱ ἀκηκοότες αὐτοῦ, ὅτι Ἰωάννης ὁ τοῦ Κυρίου “ μαθητὴς ἐν τῇ Ἐφέσῳ πορευθεὶς λούσασθαι, καὶ ἰδὼν ἔσω “ Κήρινθον, ἐξήλατο τοῦ βαλανείου μὴ λουσάμενος, ἀλλ' “ ἐπειπὼν, Φύγωμεν μὴ καὶ τὸ βαλανεῖον συμπέσῃ, ἔνδον “ ὄντος Κηρίνθου τοῦ τῆς ἀληθείας ἐχθροῦ. Καὶ αὐτὸς δὲ ὁ “ Πολύκαρπος Μαρκίωνι ποτὲ εἰς ὄψιν αὐτῷ ἐλθόντι καὶ “ φήσαντι, Ἐπιγίνωσκε ἡμᾶς, ἀπεκρίθη, Ἐπιγινώσκω τὸν “ πρωτότοκον τοῦ Σατανᾶ. Τοσαύτην οἱ ἀπόστολοι καὶ οἱ “ μαθηταὶ αὐτῶν ἔσχον εὐλάβειαν, πρὸς τὸ μηδὲ μέχρι “ λόγου κοινωνεῖν τινὶ τῶν παραχαρασσόντων τὴν ἀλήθειαν, “ ὡς καὶ Παῦλος ἔφησεν, Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ “ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ “ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ἔστι δὲ καὶ “ ἐπιστολὴ Πολυκάρπου πρὸς Φιλιππησίους γεγραμμένη “ ἱκανωτάτη. Ἐξ ἧς καὶ τὸν χαρακτῆρα τῆς πίστεως αὐτοῦ “ καὶ τὸ κήρυγμα τῆς ἀληθείας, οἱ βουλόμενοι καὶ φροντί- “ ζοντες τῆς ἑαυτῶν σωτηρίας, δύνανται μαθεῖν.” Ταῦτα ὁ Εἰρηναῖος. Ὅ γέ τοι Πολύκαρπος ἐν τῇ δηλωθείσῃ πρὸς Φιλιππησίους αὐτοῦ γραφῇ φερομένῃ εἰς δεῦρο κέχρηταί τισι μαρτυρίαις ἀπὸ τῆς Πέτρου προτέρας ἐπιστολῆς. Ἀντωνῖνον μὲν δὴ τὸν Εὐσεβῆ κληθέντα, εἰκοστὸν καὶ δεύτερον ἔτος τῆς ἀρχῆς διανύσαντα, Μάρκος Αὐρήλιος Οὐῆρος, ὁ καὶ Ἀντωνῖνος, υἱὸς αὐτοῦ σὺν καὶ Λουκίῳ ἀδελφῷ διαδέχεται.

27. Κήρινθον.] Contra quem etiam tradit Irenæus S. Joannem Evangelium scripsisse. Primo quidem in Ecclesia Judaizans, postea vero hæreseos auctor extitit, mundum a dæmonibus creatum, Jesum merum hominem a Spiritu Sancto, post baptismum accepto, ante passionem destitutum ferebat.

38. Ἐπιστολὴ] extat inter Patrum Apostolicorum opera, necnon inter Routhii Scriptorum Eccl. Opuscula.

44. μαρτυρίαις] *Testimoniis*, neque hanc modo Epistolam sed et alios plures novi Testamenti libros citat S. Polycarpus.

47. διαδέχεται.] Anno 161.

ΚΕΦ. ΙΕ.

Ὅπως κατὰ Οὐῆρον ὁ Πολύκαρπος ἅμα ἑτέροις ἐμαρτύρησεν ἐπὶ τῆς Σμυρναίων πόλεως.

(Nic. H. E. III, 34, 35.)

Ἐν τούτῳ δὲ ὁ Πολύκαρπος, μεγίστων τὴν Ἀσίαν ἀναθορυβησάντων διωγμῶν, μαρτυρίῳ τελειοῦται. Ἀναγκαιότατον δὲ αὐτοῦ τὸ τέλος ἐγγράφως ἔτι φερόμενον, ἡγοῦμαι δεῖν μνήμῃ τῇσδε τῆς ἱστορίας καταθέσθαι. Ἔστι δὲ ἡ γραφὴ ἐκ προσώπου ἧς αὐτὸς ἐκκλησίας ἡγεῖτο, ταῖς κατὰ Πόντον παροικίαις τὰ κατ' αὐτὸν ἀποσημαίνουσα διὰ τούτων·

Integra extat inter Patrum Apostolicorum opera.

BIBL. E. ΚΕΦ. Α.

Οσοι καὶ ὅπως κατὰ Οὐῆρον ἐπὶ τῆς Γαλλίας τὸν ὑπὲρ τῆς εὐσεβείας διεξῆλθον ἀγῶνα.

(Nic. H. E. IV, 16, 17.)

I. Γαλλία μὲν οὖν ἡ χώρα ἦν, καθ' ἣν τὸ τῶν δηλουμένων συνεκροτεῖτο στάδιον· ἧς μητροπόλεις ἐπίσημοι καὶ παρὰ τὰς ἄλλας τῶν αὐτόθι διαφέρουσαι βεβόηνται Λούγδουνος καὶ Βίεννα, δι' ὧν ἀμφοτέρων τὴν πᾶσαν χώραν πολλῷ τῷ ῥεύματι περιρρέων ὁ Ῥοδανὸς ποταμὸς διέξεισι. Τὴν οὖν περὶ τῶν μαρτύρων γραφὴν αἱ τῇδε διαφανέστατοι ἐκκλησίαι ταῖς κατὰ τὴν Ἀσίαν καὶ Φρυγίαν διαπέμπονται, τὰ παρ' αὐταῖς πραχθέντα τοῦτον ἀνιστοροῦσαι τὸν τρόπον. Παραθήσομαι δὲ τὰς αὐτῶν φωνάς· "Οἱ ἐν Βιέννῃ καὶ Λουγ-"δούνῳ τῆς Γαλλίας παροικοῦντες δοῦλοι Χριστοῦ, τοῖς "κατὰ τὴν Ἀσίαν καὶ Φρυγίαν τὴν αὐτὴν τῆς ἀπολυτρώ-"σεως ἡμῖν πίστιν καὶ ἐλπίδα ἔχουσιν ἀδελφοῖς, εἰρήνη καὶ

6. διὰ τούτων] *His verbis*, sequitur enim apud Eusebium magna pars ipsius Epistolæ.

3. Λούγδουνος] Civitas Galliæ, ad Rhodanum et Ararim confluentes sita, hodie *Lyon*.

4. Βίεννα,] ad Rhodanum paulo infra Lugdunum sita, hodie *Vienne*.

11. ἀπολυτρώσεως] Fidem, nimirum, redemptionis a Christo jam peractæ, spem vero libertatis ab eo in fine sæculi vindicandæ. Cf. Rom. iii. 24. viii. 23. Eph. i. 7, 14. iv. 30.

“ χάρις καὶ δόξα ἀπὸ Θεοῦ Πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ “ Κυρίου ἡμῶν.” Εἶτα τούτοις ἑξῆς, ἕτερα προοιμιασάμενοι, τὴν τοῦ λόγου καταρχὴν ποιοῦνται ἐν τούτοις· “ Τὸ μὲν οὖν “ μέγεθος τῆς ἐνθάδε θλίψεως, καὶ τὴν τοσαύτην τῶν ἐθνῶν “ εἰς τοὺς ἁγίους ὀργὴν, καὶ ὅσα ὑπέμειναν οἱ μακάριοι “ μάρτυρες, ἐπ' ἀκριβὲς οὔθ' ἡμεῖς εἰπεῖν ἱκανοὶ, οὔτε μὴν “ γραφῇ περιληφθῆναι δυνατόν. Παντὶ γὰρ σθένει ἐνέσκηψεν ὁ ἀντικείμενος, προοιμιαζόμενος ἤδη τὴν ἀδεῶς “ μέλλουσαν ἔσεσθαι παρουσίαν αὐτοῦ· καὶ διὰ πάντων διῆλθεν, ἐθίζων τοὺς ἑαυτοῦ καὶ προγυμνάζων κατὰ τῶν δούλων “ τοῦ Θεοῦ, ὥστε μὴ μόνον οἰκιῶν καὶ βαλανείων καὶ ἀγορᾶς εἴργεσθαι, ἀλλὰ καὶ τὸ καθόλου φαίνεσθαι ἡμῶν “ τινὰ αὐτοῖς ἀπειρῆσθαι ἐν ὁποίῳ δήποτε τόπῳ. Ἀντεστρατήγει δὲ ἡ χάρις τοῦ Θεοῦ, καὶ τοὺς μὲν ἀσθενεῖς “ ἐρρύετο, ἀντιπαρέτασσε δὲ στύλους ἑδραίους, δυναμένους “ διὰ τῆς ὑπομονῆς πᾶσαν τὴν ὁρμὴν τοῦ πονηροῦ εἰς ἑαυτοὺς “ ἑλκύσαι· οἳ καὶ ὁμόσε ἐχώρουν αὐτῷ, πᾶν εἶδος ὀνειδισμοῦ “ καὶ κολάσεως ἀνεχόμενοι, οἳ καὶ τὰ πολλὰ ὀλίγα ἡγούμενοι ἔσπευδον πρὸς Χριστὸν, ὄντως ἐπιδεικνύμενοι, ὅτι “ οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν “ δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

II. Καὶ πρῶτον μὲν τὰ ἀπὸ τοῦ ὄχλου πανδημεὶ σωρηδὸν “ ἐπιφερόμενα γενναίως ὑπέμενον, ἐπιβοήσεις, καὶ πληγὰς, καὶ “ συρμοὺς, καὶ διαρπαγὰς, καὶ λίθων βολὰς καὶ συγκλείσεις, “ καὶ πάνθ' ὅσα ἠγριωμένῳ πλήθει ὡς πρὸς ἐχθροὺς καὶ πολεμίους φιλεῖ γίνεσθαι. Καὶ δὴ ἀναχθέντες εἰς τὴν ἀγορὰν ὑπό “ τε τοῦ χιλιάρχου καὶ τῶν προεστηκότων τῆς πόλεως ἐξουσιῶν, “ ἐπὶ παντὸς τοῦ πλήθους ἀνακριθέντες καὶ ὁμολογήσαντες, “ συνεκλείσθησαν εἰς τὴν εἱρκτὴν ἕως τῆς τοῦ ἡγεμόνος παρουσίας. Μετέπειτα δὲ ἐπὶ τὸν ἡγεμόνα ἀχθέντων αὐτῶν, “ κἀκείνου πάσῃ τῇ πρὸς ἡμᾶς ὠμότητι χρωμένου, Οὐέττιος

20. ἀδεῶς] Satanam innuunt etiam liberius contra sanctos grassaturum cum vinculis solutus fuerit. Vid. 2 Thess. ii. 3. Apoc. xx. 7.

23. οἰκιῶν] Omnium scilicet Paganorum.

30. τὰ πολλὰ ὀλίγα] Nihil harum rerum tanti æstimantes ut pro magno haberetur.

" Ἐπάγαθος, εἷς ἐκ τῶν ἀδελφῶν, πλήρωμα ἀγάπης τῆς
" πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον κεχωρηκώς· οὗ καὶ ἐπὶ
" τοσοῦτον ἠκρίβωτο ἡ πολιτεία, ὡς καίπερ ὄντα νέον συνεξ-
" ισοῦσθαι τῇ τοῦ πρεσβυτέρου Ζαχαρίου μαρτυρίᾳ· πεπό-
Luc. i. 6. " ρευτο γοῦν ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ
" Κυρίου ἄμεμπτος, καὶ πάσῃ τῇ πρὸς τὸν πλησίον λει-
Rom. xii. 11. " τουργίᾳ ἄοκνος, ζῆλον Θεοῦ πολὺν ἔχων, καὶ ζέων τῷ
" πνεύματι. τοιοῦτος δή τις ων τὴν οὕτω καθ' ἡμῶν ἀλό-
" γως γινομένην κρίσιν οὐκ ἐβάστασεν, ἀλλ' ὑπερηγανάκτησε,
" καὶ ἠξίου καὶ αὐτὸς ἀκουσθῆναι ἀπολογούμενος ὑπὲρ τῶν
" ἀδελφῶν, ὅτι μηδὲν ἄθεον μηδὲ ἀσεβές ἐστιν ἐν ἡμῖν. Τῶν
" δὲ περὶ τὸ βῆμα καταβοησάντων αὐτοῦ, (καὶ γὰρ ἦν ἐπί-
" σημος,) καὶ τοῦ ἡγεμόνος μὴ ἀνασχομένου τῆς οὕτως
" ὑπ' αὐτοῦ δικαίας προταθείσης ἀξιώσεως, ἀλλὰ μόνον τοῦτο
" πυθομένου, εἰ καὶ αὐτὸς εἴη Χριστιανὸς, τοῦ δὲ λαμπρο-
" τάτῃ φωνῇ ὁμολογήσαντος, ἀνελήφθη καὶ αὐτὸς εἰς τὸν
" κλῆρον τῶν μαρτύρων, παράκλητος Χριστιανῶν χρηματί-
" σας, ἔχων δὲ τὸν Παράκλητον ἐν ἑαυτῷ, τὸ Πνεῦμα
" πλεῖον τοῦ Ζαχαρίου. Ὃ διὰ τοῦ πληρώματος τῆς
" ἀγάπης ἐνεδείξατο, εὐδοκήσας ὑπὲρ τῆς τῶν ἀδελφῶν ἀπο-
" λογίας καὶ τὴν ἑαυτοῦ θεῖναι ψυχήν. Ἦν γὰρ καὶ ἔστι
" γνήσιος Χριστοῦ μαθητὴς, ἀκολουθῶν τῷ ἀρνίῳ ὅπου ἂν
" ὑπάγῃ.

III. " Ἐντεῦθεν δὴ διεκρίνοντο οἱ λοιποὶ, καὶ φανεροὶ καὶ
" ἕτοιμοι ἐγίνοντο πρωτομάρτυρες. Οἳ καὶ μετὰ πάσης
" προθυμίας ἀνεπλήρουν τὴν ὁμολογίαν τῆς μαρτυρίας.
" Ἐφαίνοντο δὲ καὶ οἱ ἀνέτοιμοι καὶ ἀγύμναστοι, καὶ ἔτι
" ἀσθενεῖς, ἀγῶνος μεγάλου τόνον ἐνεγκεῖν μὴ δυνάμενοι.

13. πολιτεία] *Conversatio,* quo sensu apud SS. Patres sæpius usurpatur.

20. ἠξίου] Scilicet cum adhuc liber adstaret.

27. παράκλητος] *Advocatus.*

29. Ζαχαρίου] Neque enim Zacharias Spiritus expers. Luc. i. 67. Mallem vero ὁ καὶ διά.

31. ἔστι] Etiam post martyrium fortasse dici posset Christi discipulus; sed hoc tempore passum non accepimus. Hunc vero inter 48 martyres, post S. Irenæum passos, numerat Greg. Tur. Hist. Fr. I. 29. Passus autem est S. Irenæus Severo imperante, A. D. 202.

4. ἀγύμναστοι] Qui nulla vitæ severioris exercitatione sese ad martyrii labores præparaverant.

“ Ὧν καὶ ἐξέτρωσαν ὡς δέκα τὸν ἀριθμόν· οἳ καὶ μεγάλην “ λύπην καὶ πένθος ἀμέτρητον ἐνεποίησαν ἡμῖν, καὶ τὴν “ προθυμίαν τῶν λοιπῶν τῶν μὴ συνειλημμένων ἐνέκοψαν, οἳ “ καίπερ πάντα τὰ δεινὰ πάσχοντες, ὅμως συμπαρῆσαν τοῖς “ μάρτυσι καὶ οὐκ ἀπελείποντο αὐτῶν. Τότε δὴ οἱ πάντες “ μεγάλως ἐπτοήθημεν, διὰ τὸ ἄδηλον τῆς ὁμολογίας, οὐ τὰς “ ἐπιφερομένας κολάσεις φοβούμενοι, ἀλλὰ τὸ τέλος ἀφο- “ ρῶντες, καὶ τὸ ἀποπεσεῖν τινὰ δεδιότες. Συνελαμβάνοντο “ μέντοι καθ' ἑκάστην ἡμέραν οἱ ἄξιοι, τὸν ἐκείνων ἀναπλη- “ ροῦντες ἀριθμὸν, ὥστε συλλεγῆναι ἐκ τῶν δύο ἐκκλησιῶν “ πάντας τοὺς σπουδαίους, καὶ δι' ὧν μάλιστα συνειστήκει “ τὰ ἐνθάδε. Συνελαμβάνοντο δὲ καὶ ἐθνικοί τινες οἰκέται “ τῶν ἡμετέρων, ἐπεὶ δημοσίᾳ ἐκέλευσεν ὁ ἡγεμὼν ἀναζητεῖ- “ σθαι πάντας ἡμᾶς· οἳ καὶ κατ' ἐνέδραν τοῦ Σατανᾶ, φο- “ βηθέντες τὰς βασάνους ἃς τοὺς ἁγίους ἔβλεπον πάσχοντας, “ τῶν στρατιωτῶν ἐπὶ τοῦτο παρορμώντων αὐτοὺς, κατε- “ ψεύσαντο ἡμῶν Θυέστεια δεῖπνα, καὶ Οἰδιποδείους μίξεις, “ καὶ ὅσα μήτε λαλεῖν μήτε νοεῖν θέμις ἡμῖν, ἀλλὰ μηδὲ πι- “ στεύειν εἴτι τοιοῦτο πώποτε παρὰ ἀνθρώποις ἐγένετο. “ Τούτων δὲ φημισθέντων πάντες ἀπεθηριώθησαν εἰς ἡμᾶς, “ ὥστε καὶ εἴ τινες τὸ πρότερον δι' οἰκειότητα ἐμετρίαζον, “ τότε μεγάλως ἐχαλέπαινον καὶ διεπρίοντο καθ' ἡμῶν. “ Ἐπληροῦτο δὲ τὸ ὑπὸ τοῦ Κυρίου ἡμῶν εἰρημένον, ὅτι “ ἐλεύσεται καιρὸς, ἐν ᾧ πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξει λα- “ τρείαν προσφέρειν τῷ Θεῷ.

IV. “ Ἐνταῦθα λοιπὸν ὑπεράνω πάσης ἐξηγήσεως ὑπέμενον “ κολάσεις οἱ ἅγιοι μάρτυρες, φιλοτιμουμένου τοῦ Σατανᾶ καὶ “ δι' ἐκείνων ῥηθῆναί τι τῶν βλασφήμων. Ὑπερβεβλημένως δὲ “ ἐνέσκηψεν ἡ ὀργὴ πᾶσα καὶ ὄχλου καὶ ἡγεμόνος καὶ στρα- “ τιωτῶν εἰς Σάγκτον διάκονον ἀπὸ Βιέννης καὶ εἰς Μάτουρον “ νεοφώτιστον μὲν, ἀλλὰ γενναῖον ἀγωνιστὴν, καὶ εἰς Ἄτταλον

6 ἐξέτρωσαν] Spe nascendi in vitam æternam per martyrium exciderunt.

9. συμπαρῆσαν] Proximi martyrum habebantur qui martyribus opem ferendo pericula et contumelias subierant.

6. νεοφώτιστον] Recens *illuminatum*, scil. Baptizatum. Hoc enim nomine Sanctum Baptisma denotabant, et propter pleniorem doctrinam, et propter Spiritus Sancti illuminationem.

“ *Περγαμηνὸν τῷ γένει, στῦλον καὶ ἑδραίωμα τῶν ἐνταῦθα ἀεὶ γεγονότα, καὶ εἰς* Βλανδίναν, *δι' ἧς ἐπέδειξεν ὁ* Χριστὸς *ὅτι τὰ παρὰ ἀνθρώποις εὐτελῆ καὶ ἀειδῆ καὶ εὐκαταφρόνητα φαινόμενα μεγάλης καταξιοῦται παρὰ* Θεῷ *δόξης, διὰ τὴν πρὸς αὐτὸν ἀγάπην, τὴν ἐν δυνάμει δεικνυμένην, καὶ μὴ ἐν εἴδει καυχωμένην.* Ἡμῶν *γὰρ πάντων δεδιότων, καὶ τῆς σαρκίνης δεσποίνης αὐτῆς, ἥ τις ἦν καὶ αὐτὴ τῶν μαρτύρων μία ἀγωνίστρια, ἀγωνιώσης μὴ οὐδὲ τὴν ὁμολογίαν δυνήσεται παρρησιάσασθαι διὰ τὸ ἀσθενὲς τοῦ σώματος, ἡ* Βλανδίνα *τοσαύτης ἐπληρώθη δυνάμεως, ὥστε ἐκλυθῆναι καὶ παρεθῆναι τοὺς κατὰ διαδοχὰς παντὶ τρόπῳ βασανίζοντας αὐτὴν ἀπὸ ἑωθινῆς ἕως ἑσπέρας, καὶ αὐτοὺς ὁμολογοῦντας ὅτι νενίκηνται, μηδὲν ἔχοντες μηκέτι ὃ ποιήσουσιν αὐτῇ, καὶ θαυμάζειν ἐπὶ τῷ παραμένειν ἔμπνουν αὐτήν, παντὸς τοῦ σώματος περιερρωγότος καὶ ἠνεωγμένου, καὶ μαρτυρεῖν, ὅτι ἓν εἶδος στρεβλώσεως ἱκανὸν ἦν πρὸς τὸ ἐξαγαγεῖν τὴν ψυχήν, οὐχ ὅτι γε τοιαῦτα καὶ τοσαῦτα.* Ἀλλ' *ἡ μακαρία ὡς γενναῖος ἀθλητὴς ἀνενέαζεν ἐν τῇ ὁμολογίᾳ· καὶ ἦν αὐτῆς ἀνάληψις καὶ ἀνάπαυσις καὶ ἀναλγησία τῶν συμβαινόντων, τὸ λέγειν ὅτι* Χριστιανή *εἰμι, καί, παρ' ἡμῖν οὐδὲν φαῦλον γίνεται.* Ὁ *δὲ* Σάγκτος *καὶ αὐτὸς ὑπερβεβλημένως καὶ ὑπὲρ πάντα ἄνθρωπον πάσας τὰς ἐξ ἀνθρώπων αἰκίας γενναίως ὑπομένων, τῶν ἀνόμων ἐλπιζόντων διὰ τὴν ἐπιμονὴν καὶ τὸ μέγεθος τῶν βασάνων ἀκούσεσθαί τι παρ' αὐτοῦ τῶν μὴ δεόντων, τοσαύτῃ ὑποστάσει ἀντιπαρετάξατο αὐτοῖς, ὥστε μηδὲ τὸ ἴδιον κατειπεῖν ὄνομα, μήτε ἔθνους, μήτε πόλεως ὅθεν ἦν, μήτε εἰ δοῦλος ἢ ἐλεύθερος εἴη, ἀλλὰ πρὸς πάντα τὰ ἐπερωτώμενα ἀπεκρίνατο τῇ* Ῥωμαϊκῇ *φωνῇ,* Χριστιανός *εἰμι.* Τοῦτο *καὶ ἀντὶ ὀνόματος, καὶ ἀντὶ πόλεως, καὶ ἀντὶ γένους, καὶ*

7. *στῦλον*] Conf. 1 Tim. iii. 5.

9. *ἀειδῆ*] Conf. 1 Cor. i. 26, 28.

25. *ἀνάληψις*] Hæc nempe proferendo ipsa sibi restitui videbatur et refici.

27. *φαῦλον*] Duplicem finem sibi proponebant tortores, primo quidem ut Christianos ad blasphemiam, vel ad impiorum rituum participationem, secundo autem ut confitentes, necnon ipsos interdum apostatas, ad falsum testimonium de Christianorum moribus reddendum compellerent.

" ἀντὶ παντὸς ἐπαλλήλως ὡμολόγει, ἄλλην δὲ φωνὴν οὐκ ἤκουσαν αὐτοῦ τὰ ἔθνη. Ὅθεν δὴ καὶ φιλονεικία μεγάλη τοῦ τε ἡγεμόνος καὶ τῶν βασανιστῶν ἐγένετο πρὸς αὐτὸν, ὥστε ὁπότε μηκέτι μηδὲν εἶχον ὃ ποιήσουσιν αὐτῷ, τὸ τελευταῖον χαλκᾶς λεπίδας διαπύρους προσεκόλλων τοῖς τρυφερωτάτοις μέλεσι τοῦ σώματος αὐτοῦ. Καὶ ταῦτα μὲν ἐκαίετο, αὐτὸς δὲ παρέμενεν ἀνεπίκαμπτος καὶ ἀνένδοτος, στερρὸς πρὸς τὴν ὁμολογίαν, ὑπὸ τῆς οὐρανίου πηγῆς τοῦ ὕδατος τῆς ζωῆς τοῦ ἐξιόντος ἐκ τῆς νηδύος τοῦ Χριστοῦ δροσιζόμενος καὶ ἐνδυναμούμενος. Τὸ δὲ σωμάτιον μάρτυς ἦν τῶν συμβεβηκότων, ὅλον τραῦμα καὶ μώλωψ, καὶ συνεσπασμένον, καὶ ἀποβεβληκὸς τὴν ἀνθρώπειον ἔξωθεν μορφήν. Ἐν ᾧ πάσχων Χριστὸς μεγάλας ἐπετέλει δόξας, καταργῶν τὸν ἀντικείμενον, καὶ εἰς τὴν τῶν λοιπῶν ὑποτύπωσιν ὑποδεικνύων, ὅτι μηδὲν φοβερὸν ὅπου Πατρὸς ἀγάπη, μηδὲ ἀλγεινὸν ὅπου Χριστοῦ δόξα. Τῶν γὰρ ἀνόμων μεθ' ἡμέρας πάλιν στρεβλούντων τὸν μάρτυρα, καὶ νομιζόντων, ὅτι οἰδούντων καὶ φλεγμαινόντων τῶν σωμάτων, εἰ τὰ αὐτὰ προσενέγκοιεν κολαστήρια, περιέσοιντο αὐτοῦ, ὁπότε οὐδὲ τὴν ἀπὸ τῶν χειρῶν ἀφὴν ἠνείχετο· ἢ ὅτι ἐναποθανὼν ταῖς βασάνοις, φόβον ἐμποιήσειε τοῖς λοιποῖς· οὐ μόνον οὐδὲν περὶ αὐτὸν τοιοῦτο συνέβη, ἀλλὰ καὶ παρὰ πᾶσαν δόξαν ἀνθρώπων ἀνέκυψε καὶ ἀνωρθώθη τὸ σωμάτιον ἐν ταῖς μετέπειτα βασάνοις, καὶ τὴν ἰδέαν ἀπέλαβε τὴν προτέραν καὶ τὴν χρῆσιν τῶν μελῶν, ὥστε μὴ κόλασιν, ἀλλ' ἴασιν, διὰ τῆς χάριτος τοῦ Χριστοῦ, τὴν δευτέραν στρέβλωσιν αὐτῷ γενέσθαι. Καὶ Βιβλιάδα δέ τινα τῶν ἠρνημένων ἤδη δοκῶν ὁ Διάβολος καταπεπωκέναι, θελήσας δὲ καὶ διὰ βλασφημίας κατακρῖναι, ἦγεν ἐπὶ κόλασιν, ἀναγκάζων εἰπεῖν τὰ ἄθεα

47. τοῦ Χριστοῦ] Cf. Joh. vii. 38. ubi de credente dicitur. sed vid. l. 50, ubi Christus in credente agnoscitur. Necnon in ipso loco Evangelii indicatur credentem in hac re Christum referre. cf. v. 37.

56. τῶν] Conditionem omnium confessorum describit, ex qua et hujusce afflictionem et cæterorum timorem sperabant.

65. ἠρνημένων] Non quæ negaverat sese Christianam fuisse, sed quæ Christo renuntiaverat. v. supr. l. 28.

" περὶ ἡμῶν, ὡς εὔθραυστον ἤδη καὶ ἄνανδρον. Ἡ δὲ ἐν τῇ στρεβλώσει ἀνένηψε, καὶ, ὡς ἂν εἰπεῖν, ἐκ βαθέος ὕπνου ἀνεγρηγόρησεν, ὑπομνησθεῖσα διὰ τῆς προσκαίρου τιμωρίας τὴν αἰώνιον ἐν γεέννῃ κόλασιν, καὶ ἐξ ἐναντίας ἀντεῖπε τοῖς βλασφήμοις, φήσασα, Πῶς ἂν παιδία φάγοιεν οἱ τοιοῦτοι, οἷς μηδὲ ἀλόγων ζώων αἷμα φαγεῖν ἐξόν; Καὶ ἀπὸ τοῦδε Χριστιανὴν ἑαυτὴν ὡμολόγει, καὶ τῷ κλήρῳ τῶν μαρτύρων προσετέθη.

V. " Καταργηθέντων δὲ τῶν τυραννικῶν κολαστηρίων ὑπὸ τοῦ Χριστοῦ διὰ τῆς τῶν μακαρίων ὑπομονῆς, ἑτέρας μηχανὰς ὁ Διάβολος ἐπενόει, τὰς κατὰ τὴν εἱρκτὴν ἐν τῷ σκότει καὶ τῷ χαλεπωτάτῳ χωρίῳ συγκλείσεις, καὶ τὰς ἐν τῷ ξύλῳ διατάσεις τῶν ποδῶν, ἐπὶ πέμπτον διατεινομένων τρύπημα, καὶ τὰς λοιπὰς αἰκίας, ὅσας εἰώθασιν ὀργιζόμενοι ὑπουργοὶ, καὶ ταῦτα Διαβόλου πλήρεις, διατιθέναι τοὺς ἐγκλειομένους, ὥστε ἀποπνιγῆναι τοὺς πλείστους ἐν τῇ εἱρκτῇ, ὅσους γε ὁ Κύριος οὕτως ἐξελθεῖν ἠθέλησεν, ἐπιδεικνύων τὴν αὐτοῦ δόξαν. Οἱ μὲν γὰρ βασανισθέντες πικρῶς, ὥστε δοκεῖν μηδὲ τῆς πάσης θεραπείας τυχόντας ἔτι ζῆσαι δύνασθαι, παρέμενον ἐν τῇ εἱρκτῇ, ἔρημοι μὲν τῆς παρὰ ἀνθρώπων ἐπιμελείας, ἀναρρωννύμενοι δὲ ὑπὸ Κυρίου καὶ ἐνδυναμούμενοι καὶ σώματι καὶ ψυχῇ, καὶ τοὺς λοιποὺς παρορμῶντες καὶ παραμυθούμενοι. Οἱ δὲ νεαροὶ καὶ ἄρτι συνειλημμένοι, ὧν μὴ προκατήκιστο τὰ σώματα, τὸ βάρος οὐκ ἔφερον τῆς συγκλείσεως, ἀλλ' ἔνδον ἐναπέθνησκον. Ὁ δὲ μακάριος Ποθεινὸς, ὁ τὴν διακονίαν τῆς ἐπισκοπῆς ἐν Λουγδούνῳ πεπιστευμένος, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη τῆς ἡλικίας γεγονὼς, καὶ πάνυ ἀσθενὴς τῷ σώματι, μόλις μὲν ἐμπνέων διὰ τὴν προκειμένην σωματικὴν ἀσθένειαν, ὑπὸ δὲ προθυμίας πνεύματος ἀναρρωνύμενος διὰ τὴν ἐγκειμένην τῆς μαρτυρίας ἐπιθυμίαν, καὶ αὐτὸς ἐπὶ τὸ βῆμα ἐσύρετο, τοῦ μὲν σώματος καὶ ὑπὸ τοῦ γήρως καὶ ὑπὸ τῆς νόσου λελυ-

4. διατάσεις] Pedes non modo ligno infigebant, sed in majorem molestiam longius quam solitum erat distendebant.

9 οὕτως.] Per mortem.

“ μένου, τηρουμένης δὲ τῆς ψυχῆς ἐν αὐτῷ, ἵνα δι᾽ αὐτῆς “ Χριστὸς θριαμβεύσῃ. Ὃς ὑπὸ τῶν στρατιωτῶν ἐπὶ τὸ “ βῆμα κομισθεὶς, παραπεμπόντων αὐτὸν τῶν πολιτικῶν “ ἐξουσιῶν, καὶ παντὸς τοῦ πλήθους ἐπιβοήσεις παντοίας “ ποιουμένων, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ, ἀπεδίδου τὴν “ καλὴν μαρτυρίαν. Ἀνεταζόμενος δὲ ὑπὸ τοῦ ἡγεμόνος, “ τίς εἴη Χριστιανῶν ὁ Θεὸς, ἔφη, Ἐὰν ᾖς ἄξιος, γνώσῃ. “ Ἐντεῦθεν δὴ ἀφειδῶς ἐσύρετο, καὶ ποικίλας ἔπασχε “ πληγὰς, τῶν μὲν σύνεγγυς, χερσὶ καὶ ποσὶν ἐνυβριζόντων “ παντοίως, μηδὲ τὴν ἡλικίαν αἰδουμένων αὐτοῦ, τῶν δὲ μα- “ κρὰν, ὃ μετὰ χεῖρας ἕκαστος εἶχεν, εἰς αὐτὸν ἀκοντιζόντων, “ πάντων δὲ ἡγουμένων μεγάλως πλημμελεῖν καὶ ἀσεβεῖν, “ εἴ τις ἀπολειφθείη τῆς εἰς αὐτὸν ἀσελγείας· καὶ γὰρ τοὺς “ θεοὺς ἑαυτῶν ᾤοντο οὕτως ἐκδικήσειν. Καὶ μόγις ἐμ- “ πνέων ἐρρίφη εἰς τὴν εἱρκτὴν, καὶ μετὰ δύο ἡμέρας ἀπέ- “ ψυξεν.

VI. “ Ἐνταῦθα δὴ μεγάλη τὶς οἰκονομία τοῦ Θεοῦ ἐγί- “ νετο, καὶ ἔλεος ἀμέτρητον ἀνεφαίνετο Ἰησοῦ, σπανίως “ μὲν ἐν τῇ ἀδελφότητι γεγονὸς, μὴ ἀπολειπόμενον δὲ “ τῆς τέχνης τοῦ Χριστοῦ. Οἱ γὰρ κατὰ τὴν πρώτην “ σύλληψιν ἔξαρνοι γενόμενοι συνεκλείοντο καὶ αὐτοὶ καὶ “ μετεῖχον τῶν δεινῶν· (οὐδὲ γὰρ ἐν τῷ καιρῷ τούτῳ ὄφε- “ λός τι αὐτοῖς ἡ ἐξάρνησις ἐγίνετο·) ἀλλ᾽ οἱ μὲν ὁμολο- “ γοῦντες ὃ καὶ ἦσαν, συνεκλείοντο ὡς Χριστιανοὶ, μηδεμιᾶς “ ἄλλης αἰτίας αὐτοῖς ἐπιφερομένης· οὗτοι δὲ λοιπὸν ὡς “ ἀνδροφόνοι καὶ μιαροὶ κατείχοντο, διπλότερον παρὰ τοὺς “ λοιποὺς κολαζόμενοι. Ἐκείνους μὲν γὰρ ἐπεκούφιζεν ἡ “ χαρὰ τῆς μαρτυρίας, καὶ ἡ ἐλπὶς τῶν ἐπηγγελμένων, καὶ ἡ “ πρὸς τὸν Χριστὸν ἀγάπη, καὶ τὸ Πνεῦμα τὸ Πατρικὸν, “ τούτους δὲ τὸ συνειδὸς μεγάλως ἐτιμωρεῖτο, ὥστε καὶ “ παρὰ τοῖς λοιποῖς ἅπασι κατὰ τὰς παρόδους διαδήλους τὰς “ ὄψεις αὐτῶν εἶναι. Οἱ μὲν γὰρ ἱλαροὶ προῄεσαν, δόξης

29. ὡς αὐτοῦ.] In præsulem istius Ecclesiæ æque sæviebant ac si totius Ecclesiæ Caput jam tenerent.

4. τέχνης] Artem quandam divinam huic rei non defuisse affirmant, cum omnia quæ ab adversariis fierent Christus suis in bonum verteret.

" *καὶ χάριτος πολλῆς ταῖς ὄψεσιν αὐτῶν συγκεκραμένης,* " *ὥστε καὶ τὰ δεσμὰ κόσμον εὐπρεπῆ περικεῖσθαι αὐτοῖς,* Ps. xlv. 14. " *ὡς νύμφῃ κεκοσμημένῃ ἐν κροσσωτοῖς χρυσοῖς πεποι-* " *κιλμένοις, τὴν εὐωδίαν ὀδωδότες ἅμα τὴν Χριστοῦ, ὥστε* " *ἐνίους δόξαι καὶ μύρῳ κοσμικῷ κεχρίσθαι αὐτούς· οἱ δὲ,* " *κατηφεῖς καὶ ταπεινοὶ καὶ δυσειδεῖς, καὶ πάσης ἀσχημοσύ-* " *νης ἀνάπλεοι, προσέτι δὲ καὶ ὑπὸ τῶν ἐθνῶν ὀνειδιζόμενοι* " *ὡς ἀγεννεῖς καὶ ἄνανδροι, ἀνδροφόνων μὲν ἐγκλήματα* " *ἔχοντες, ἀπολωλεκότες δὲ τὴν πάντιμον καὶ ἔνδοξον καὶ* " *ζωοποιὸν προσηγορίαν.* Ταῦτα *δὲ οἱ λοιποὶ θεωροῦντες* " *ἐστηρίχθησαν, καὶ οἱ συλλαμβανόμενοι ἀδιστάκτως ὡμο-* " *λόγουν, μηδὲ ἔννοιαν ἔχοντες διαβολικοῦ λογισμοῦ.*"

VII. Τούτοις *μεταξὺ τινὰ ἐπειπόντες, αὖθις ἐπιφέρουσι·* " Μετὰ *ταῦτα δὴ λοιπὸν εἰς πᾶν εἶδος διῃρεῖτο τὰ μαρτύρια* " *τῆς ἐξόδου αὐτῶν.* Ἐκ *διαφόρων γὰρ χρωμάτων καὶ παν-* " *τοίων ἀνθῶν ἕνα πλέξαντες στέφανον, προσήνεγκαν τῷ* " Πατρί. Ἐχρῆν *γοῦν τοὺς γενναίους ἀθλητὰς, ποικίλον* " *ὑπομείναντας ἀγῶνα καὶ μεγάλως νικήσαντας, ἀπολαβεῖν* " *τὸν μέγαν τῆς ἀφθαρσίας στέφανον.* Ὁ *μὲν οὖν* Μάτου- " *ρος καὶ ὁ* Σάγκτος *καὶ ἡ* Βλανδίνα *καὶ* Ἄτταλος *ἤγοντο* " *ἐπὶ τὰ θηρία εἰς τὸ δημόσιον, καὶ εἰς τὸ κοινὸν τῶν* " *ἐθνῶν τῆς ἀπανθρωπίας θέαμα, ἐπίτηδες τῆς τῶν θηριο-* " *μαχιῶν ἡμέρας διὰ τοὺς ἡμετέρους διδομένης.* Καὶ *ὁ μὲν* " Μάτουρος *καὶ ὁ* Σάγκτος *αὖθις διῄεσαν ἐν τῷ ἀμφιθεάτρῳ* " *διὰ πάσης κολάσεως, ὡς μηδὲν ὅλως προπεπονθότες, μᾶλ-* " *λον δὲ ὡς διὰ πλειόνων ἤδη κλήρων ἐκβεβιακότες τὸν ἀν-*

20. *εὐωδίαν*] Simile aliquid habes in martyrio B. Polycarpi c. 15. *καὶ γὰρ εὐωδίας τοσαύτης ἀντελαβόμεθα, ὡς λιβανωτοῦ πνέοντος, ἢ ἄλλου τινὸς τῶν τιμίων ἀρωμάτων.* Quæ rident alii, alii vero satis probabilem afferunt explicationem. Certe tamen inter veteres prævalebat opinio de odore quodam sanctitatis miraculoso. Quædam fortasse allegorice dicta in alium sensum tracta fuerint, sed nihil est cur negemus ejusmodi miraculo interdum confirmatos fuisse animos fidelium.

28. *ἔννοιαν*] Qualem cogitationem ita detestabantur Christiani, ut S. Cyprianus, in Libro quem scripsit de Lapsis, laudet eos qui propter ipsam, etiamsi nullo actu adimpletam, apud sacerdotes confessionem fecissent.

14. *κλήρων*] Ubi plures certaturi erant, sortiebatur quisque adversarium, inde nova sortitione committebantur victores. Hic pro adversariis accipias varia tormentorum genera, unum vero in omnibus diabolum oppugnantem.

“ τίπαλον, καὶ περὶ τοῦ στεφάνου αὐτοῦ τὸν ἀγῶνα ἔχοντες, ὑπέφερον πάλιν τὰς διεξόδους τῶν μαστίγων τὰς ἐκεῖσε εἰθισμένας, καὶ τοὺς ἀπὸ τῶν θηρίων ἑλκηθμοὺς, καὶ πάνθ' ὅσα μαινόμενος ὁ δῆμος ἄλλοι ἀλλαχόθεν ἐπεβόων καὶ ἐπεκελεύοντο, ἐπὶ πᾶσι τὴν σιδηρᾶν καθέδραν, ἐφ' ἧς τηγανιζόμενα τὰ σώματα κνίσσης αὐτοὺς νεφόρει. Οἱ δ' οὐδ' οὕτως ἔληγον, ἀλλ' ἔτι καὶ μᾶλλον ἐξεμαίνοντο, βουλόμενοι νικῆσαι τὴν ἐκείνων ὑπομονήν. Καὶ οὐδ' ὣς παρὰ Σάγκτου ἕτερόν τι εἰσήκουσαν, παρ' ἣν ἀπαρχῆς εἴθιστο λέγειν τῆς ὁμολογίας φωνήν. Οὗτοι μὲν οὖν, δι' ἀγῶνος μεγάλου ἐπιπολὺ παραμενούσης αὐτῶν τῆς ψυχῆς, τοὔσχατον ἐτύθησαν, διὰ τῆς ἡμέρας ἐκείνης, ἀντὶ πάσης τῆς ἐν τοῖς μονομαχίοις ποικιλίας, αὐτοὶ θέαμα γενόμενοι τῷ κόσμῳ. Ἡ δὲ Βλανδίνα ἐπὶ ξύλου κρεμασθεῖσα προὔκειτο βορὰ τῶν εἰσβαλλομένων θηρίων· ἣ καὶ διὰ τοῦ βλέπεσθαι σταυροῦ σχήματι κρεμαμένη, διὰ τῆς εὐτόνου προσευχῆς, πολλὴν προθυμίαν τοῖς ἀγωνιζομένοις ἐνεποίει, βλεπόντων αὐτῶν ἐν τῷ ἀγῶνι καὶ τοῖς ἔξωθεν ὀφθαλμοῖς διὰ τῆς ἀδελφῆς τὸν ὑπὲρ αὐτῶν ἐσταυρωμένον, ἵνα πείσῃ τοὺς πιστεύοντας εἰς αὐτὸν, ὅτι πᾶς ὁ ὑπὲρ τῆς Χριστοῦ δόξης παθὼν τὴν κοινωνίαν ἀεὶ ἔχει μετὰ τοῦ ζῶντος Θεοῦ. Καὶ μηδενὸς ἁψαμένου τότε τῶν θηρίων αὐτῆς, καθαιρεθεῖσα ἀπὸ τοῦ ξύλου, ἀνελήφθη πάλιν εἰς τὴν εἱρκτὴν, εἰς ἄλλον ἀγῶνα τηρουμένη, ἵνα διὰ πλειόνων γυμνασμάτων νικήσασα τῷ μὲν σκολιῷ ὄφει ἀπαραίτητον ποιήσῃ τὴν καταδίκην, προτρέψηται δὲ τοὺς ἀδελφοὺς ἡ μικρὰ καὶ ἀσθενὴς καὶ εὐκαταφρόνητος, μέγαν καὶ ἀκαταγώνιστον ἀθλητὴν Χριστὸν ἐνδεδυμένη, διὰ πολλῶν κλήρων ἐκβιάσασα τὸν ἀντικείμενον, καὶ δι' ἀγῶνος τὸν τῆς ἀφθαρσίας στεψαμένη στέφανον. Ὁ δὲ Ἄτταλος καὶ αὐτὸς μεγάλως ἐξαιτηθεὶς ὑπὸ τοῦ ὄχλου, (καὶ γὰρ ἦν ὀνομαστὸς,) ἕτοιμος εἰσῆλθεν ἀγωνιστὴς διὰ τὸ εὐσυν-

16. Quippe inter flagella transibant, verbera ab unoquoque venatorum, qui bestias curabant, excipientes.

20. αὐτοὺς] Ethnicos, qui ipso nidore humanorum corporum delectabantur.

24. φωνήν] Vid. supr. §. 1.

“ εἴδητον, ἐπειδὴ γνησίως ἐν τῇ Χριστιανῇ συντάξει γεγυμνασμένος ἦν, καὶ ἀεὶ μάρτυς ἐγεγόνει παρ' ἡμῖν ἀληθείας. Καὶ περιαχθεὶς κύκλῳ τοῦ ἀμφιθεάτρου, πίνακος αὐτὸν προάγοντος ἐν ᾧ ἐγέγραπτο Ῥωμαϊστὶ, Οὗτός ἐστιν Ἄτταλος ὁ Χριστιανὸς, καὶ τοῦ δήμου σφόδρα σφριγῶντος ἐπ' αὐτῷ, μαθὼν ὁ ἡγεμὼν ὅτι Ῥωμαῖος ἐστὶν, ἐκέλευσεν αὐτὸν ἀναληφθῆναι μετὰ καὶ τῶν λοιπῶν τῶν ἐν τῇ εἱρκτῇ ὄντων, περὶ ὧν ἐπέστειλε τῷ Καίσαρι, καὶ περιέμενε τὴν ἀπόφασιν τὴν ἀπ' ἐκείνου.

VIII. “Ὁ δὲ διαμέσου καιρὸς οὐκ ἀργὸς αὐτοῖς οὐδὲ ἄκαρπος ἐγίνετο, ἀλλὰ διὰ τῆς ὑπομονῆς αὐτῶν τὸ ἀμέτρητον ἔλεος ἀνεφαίνετο Χριστοῦ. Διὰ γὰρ τῶν ζώντων ἐζωοποιοῦντο τὰ νεκρὰ, καὶ μάρτυρες τοῖς μὴ μάρτυσιν ἐχαρίζοντο. Καὶ ἐνεγίνετο πολλὴ χαρὰ τῇ παρθένῳ μητρὶ, οὓς ὡς νεκροὺς ἐξέτρωσε, τούτους ζῶντας ἀπολαμβανούσῃ. Δι' ἐκείνων γὰρ οἱ πλείους τῶν ἠρνημένων ἀνεμετροῦντο καὶ ἀνεκυΐσκοντο καὶ ἀνεζωπυροῦντο, καὶ ἐμάνθανον ὁμολογεῖν, καὶ ζῶντες ἤδη καὶ τετονωμένοι προσῄεσαν τῷ βήματι, ἐγγλυκαίνοντος τοῦ τὸν μὲν θάνατον τοῦ ἁμαρτωλοῦ μὴ
Ez. xviii. 23. βουλομένου, ἐπὶ δὲ τὴν μετάνοιαν χρηστευομένου Θεοῦ, ἵνα καὶ πάλιν ἐπερωτηθῶσιν ὑπὸ τοῦ ἡγεμόνος. Ἐπιστείλαντος γὰρ τοῦ Καίσαρος τοὺς μὲν ἀποτυμπανισθῆναι, εἰ δέ τινες ἀρνοῖντο, τούτους ἀπολυθῆναι, τῆς ἐνθάδε πανηγύρεως, (ἔστι δὲ αὕτη πολυάνθρωπος ἐκ πάντων τῶν ἐθνῶν συνερχομένων εἰς αὐτὴν) ἀρχομένης συνεστάναι, ἀνῆγεν ἐπὶ τὸ βῆμα θεατρίζων τοὺς μακαρίους, καὶ ἐμπομπεύων τοῖς ὄχλοις. Διὸ καὶ πάλιν ἀνήταζε, καὶ ὅσοι μὲν ἐδόκουν πολιτείαν Ῥωμαίων ἐσχηκέναι, τούτων ἀπέτεμνε τὰς κεφαλὰς, τοὺς δὲ λοιποὺς ἔπεμπεν εἰς θηρία. Ἐδοξάζετο δὲ μεγάλως ὁ Χριστὸς ἐπὶ τοῖς πρότερον

47. συντάξει] *Ordine*, vel fortasse etiam stipendiis.

4. ἐχαρίζοντο] Ecclesiæ pacem concedebant. Quod primo quidem per necessitatem fieri solitum, serius in disciplinæ detrimentum frequentabatur.

5. Μητρὶ] Scil. *Ecclesiæ*.

7. ἀνεμετροῦντο] *Iter remetiebantur.*

10. ἐγγλυκαίνοντος] *Hoc etiam in solatium addente.*

“ ἀρνησαμένοις, τότε παρὰ τὴν τῶν ἐθνῶν ὑπόνοιαν ὁμολο- “ γοῦσι. Καὶ γὰρ ἰδίᾳ οὗτοι ἀνητάζοντο, ὡς δῆθεν ἀπολυ- “ θησόμενοι. Καὶ ὁμολογοῦντες προσετίθεντο τῷ τῶν “ μαρτύρων κλήρῳ, ἔμειναν δὲ ἔξω, οἱ μηδὲ ἴχνος πώποτε “ πίστεως, μηδὲ αἴσθησιν ἐνδύματος νυμφικοῦ, μηδὲ ἔννοιαν “ φόβου Θεοῦ σχόντες, ἀλλὰ καὶ διὰ τῆς ἀναστροφῆς αὐ- “ τῶν βλασφημοῦντες τὴν ὁδὸν, τουτέστιν οἱ υἱοὶ τῆς ἀπω- “ λείας. Οἱ δὲ λοιποὶ πάντες τῇ ἐκκλησίᾳ προσετέθησαν· “ ὧν καὶ ἀνεταζομένων, Ἀλέξανδρός τις, Φρὺξ μὲν τὸ γένος, “ ἰατρὸς δὲ τὴν ἐπιστήμην, πολλοῖς ἔτεσιν ἐν ταῖς Γαλλίαις “ διατρίψας, καὶ γνωστὸς σχεδὸν πᾶσι διὰ τὴν πρὸς τὸν “ Θεὸν ἀγάπην καὶ παρρησίαν τοῦ λογοῦ, (ἦν γὰρ καὶ οὐκ “ ἄμοιρος ἀποστολικοῦ χαρίσματος,) παρεστὼς τῷ βήματι, “ καὶ νεύματι προτρέπων αὐτοὺς πρὸς τὴν ὁμολογίαν, φανε- “ ρὸς ἦν τοῖς περιεστηκόσι τὸ βῆμα ὥσπερ ὠδίνων. Ἀγα- “ νακτήσαντες δὲ οἱ ὄχλοι ἐπὶ τῷ τοὺς πρότερον ἠρνημένους “ αὖθις ὁμολογεῖν, κατεβόησαν τοῦ Ἀλεξάνδρου, ὡς ἐκείνου “ τοῦτο ποιοῦντος. Καὶ ἐπιστήσαντος τοῦ ἡγεμόνος καὶ “ ἀνετάσαντος αὐτὸν, ὅστις εἴη, τοῦ δὲ φήσαντος ὅτι Χρι- “ στιανὸς, ἐν ὀργῇ γενόμενος, κατέκρινεν αὐτὸν πρὸς θηρία. “ καὶ τῇ ἐπιούσῃ εἰσῆλθε μετὰ καὶ τοῦ Ἀττάλου. Καὶ “ γὰρ καὶ τὸν Ἄτταλον τῷ ὄχλῳ χαριζόμενος ὁ ἡγεμὼν “ ἐξέδωκε πάλιν πρὸς θηρία. Οἳ καὶ διὰ πάντων διελθόντες “ τῶν ἐν τῷ ἀμφιθεάτρῳ πρὸς κόλασιν ἐξευρημένων ὀργά- “ νων, καὶ μέγιστον ὑπομείναντες ἀγῶνα, τοὔσχατον ἐτύθη- “ σαν καὶ αὐτοί· τοῦ μὲν Ἀλεξάνδρου μήτε στενάξαντος “ μήτε γρύξαντός τι ὅλως, ἀλλὰ κατὰ καρδίαν ὁμιλοῦντος “ τῷ Θεῷ. Ὁ δὲ Ἄτταλος ὁπότε ἐπὶ τῆς σιδηρᾶς ἐπετέθη “ καθέδρας καὶ περιεκαίετο, ἡνίκα ἡ ἀπὸ τοῦ σωματίου “ κνίσσα ἀνεφέρετο, ἔφη πρὸς τὸ πλῆθος τῇ Ῥωμαϊκῇ “ φωνῇ, Ἰδοὺ, τοῦτό ἐστιν ἀνθρώπους ἐσθίειν, ὃ ποιεῖτε “ ὑμεῖς· ἡμεῖς δὲ οὔτε ἀνθρώπους ἐσθίομεν, οὔθ᾽ ἕτερόν τι

25. ἔμειναν] Neque enim omnes qui exciderant resipiscentiam adepti sunt.

34. χαρίσματος] Hoc idem de multis e Nicænis Patribus testatur Theodoretus. Eccl. Hist. I. 6.

36. ὠδίνων] Confer S. Paulum. Gal. iv. 19.

“ πονηρὸν πράσσομεν. Ἐπερωτώμενος δὲ τί ὄνομα ἔχει
“ ὁ Θεὸς, ἀπεκρίθη, Ὁ Θεὸς ὄνομα οὐκ ἔχει ὡς ἄνθρωπος.
“ Ἐπὶ πᾶσι δὲ τούτοις τῇ ἐσχάτῃ λοιπὸν ἡμέρᾳ τῶν μονο-
“ μαχιῶν, ἡ Βλανδίνα πάλιν εἰσεκομίζετο μετὰ καὶ Ποντικοῦ
“ παιδαρίου ὡς πεντεκαίδεκα ἐτῶν. Οἳ καὶ καθημέραν εἰσή-
“ γοντο πρὸς τὸ βλέπειν τὴν τῶν λοιπῶν κόλασιν, καὶ
“ ἠναγκάζοντο ὀμνύναι κατὰ τῶν εἰδώλων αὐτῶν. Καὶ διὰ
“ τὸ ἐμμένειν εὐσταθῶς καὶ ἐξουθενεῖν αὐτοὺς, ἠγριώθη πρὸς
“ αὐτοὺς τὸ πλῆθος, ὡς μήτε τὴν ἡλικίαν τοῦ παιδὸς οἰκτεῖ-
“ ραι, μήτε τὸ γύναιον αἰδεσθῆναι. Πρὸς πάντα δὲ τὰ
“ δεινὰ παρέβαλλον αὐτοὺς, καὶ διὰ πάσης ἐν κύκλῳ διῆγον
“ κολάσεως, ἐπαλλήλως ἀναγκάζοντες ὀμόσαι, ἀλλὰ μὴ δυνά-
“ μενοι τοῦτο πρᾶξαι· ὁ μὲν γὰρ Ποντικὸς ὑπὸ τῆς ἀδελφῆς
“ παρωρμημένος, ὡς καὶ τὰ ἔθνη βλέπειν ὅτι ἐκείνη ἦν προ-
“ τρεπομένη καὶ στηρίζουσα αὐτὸν, πᾶσαν κόλασιν γενναίως
“ ὑπομείνας, ἀπέδωκε τὸ πνεῦμα. Ἡ δὲ μακαρία Βλανδίνα
“ πάντων ἐσχάτη, καθάπερ μήτηρ εὐγενὴς παρορμήσασα
“ τὰ τέκνα καὶ νικηφόρους προπέμψασα πρὸς τὸν βασιλέα,
“ ἀναμετρουμένη καὶ αὐτὴ πάντα τὰ τῶν παίδων ἀγωνίσματα,
“ ἔσπευδε πρὸς αὐτοὺς χαίρουσα καὶ ἀγαλλιωμένη ἐπὶ τῇ
“ ἐξόδῳ, ὡς εἰς νυμφικὸν δεῖπνον κεκλημένη, ἀλλὰ μὴ πρὸς
“ θηρία βεβλημένη. Καὶ μετὰ τὰς μάστιγας, μετὰ τὰ
“ θηρία, μετὰ τὸ τήγανον, τοὔσχατον εἰς γύργαθον βλη-
“ θεῖσα, ταύρῳ παρεβλήθη· καὶ ἱκανῶς ἀναβληθεῖσα πρὸς
“ τοῦ ζώου, μηδὲ αἴσθησιν ἔτι τῶν συμβαινόντων ἔχουσα
“ διὰ τὴν ἐλπίδα καὶ ἐποχὴν τῶν πεπιστευμένων καὶ ὁμίλιαν
“ πρὸς Χριστὸν, ἐτύθη καὶ αὐτὴ, καὶ αὐτῶν ὁμολογούντων
“ τῶν ἐθνῶν, ὅτι μηδὲ πώποτε παρ' αὐτοῖς γυνὴ τοιαῦτα
“ καὶ τοσαῦτα ἔπαθεν.

IX. “ Ἀλλ' οὐδ' οὕτως κόρον ἐλάμβανεν αὐτῶν ἡ μανία
“ καὶ ἡ πρὸς τοὺς ἁγίους ὠμότης. Ὑπὸ γὰρ ἀγρίου θηρὸς
“ ἄγρια καὶ βάρβαρα φῦλα ταραχθέντα δυσπαύστως εἶχε,

55. Cum scilicet non sit a quo distinguatur, sicut homo ab homine, per nomen proprium.

60. Imperfectum hic loci rem infectam notat.

70. μήτηρ] Alluditur fortasse ad 2 Macc. viii.

IX. 2. θηρὸς] Scil. a diabolo.

καὶ ἄλλην ἰδίαν ἀρχὴν ἐπὶ τοῖς σώμασιν ἐλάμβανεν ἡ ὕβρις αὐτῶν. Τὸ γὰρ νενικῆσθαι αὐτοὺς οὐκ ἐδυσώπει, διὰ τὸ μὴ ἔχειν ἀνθρώπινον ἐπιλογισμὸν, μᾶλλον δὲ καὶ ἐξέκαεν αὐτῶν τὴν ὀργὴν καθάπερ θηρίου, καὶ τοῦ ἡγεμόνος καὶ τοῦ δήμου τὸ ὅμοιον εἰς ἡμᾶς ἀδίκως ἐπιδεικνυμένων μῖσος· ἵνα ἡ γραφὴ πληρωθῇ, Ὁ ἄνομος ἀνομησάτω ἔτι, καὶ ὁ δίκαιος δικαιωθήτω ἔτι. Καὶ γὰρ τοὺς ἐναποπνιγέντας ἐν τῇ εἱρκτῇ παρέβαλλον κυσὶν, ἐπιμελῶς παραφυλάσσοντες νύκτωρ καὶ μεθημέραν, μὴ κηδευθῇ τις ὑφ' ἡμῶν. Καὶ τότε δὴ προθέντες τά τε τῶν θηρίων, τά τε τοῦ πυρὸς λείψανα, πῇ μὲν ἐσπαραγμένα, πῇ δὲ ἠνθρακευμένα, καὶ τῶν λοιπῶν τὰς κεφαλὰς σὺν τοῖς ἀποτμήμασιν αὐτῶν ὡσαύτως ἀτάφους παρεφύλαττον μετὰ στρατιωτικῆς ἐπιμελείας ἡμέραις συχναῖς. Καὶ οἱ μὲν ἐνεβριμῶντο καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτοῖς, ζητοῦντες τινὰ περισσοτέραν ἐκδίκησιν παρ' αὐτῶν λαβεῖν, οἱ δὲ ἐνεγέλων καὶ ἐπετώθαζον, μεγαλύνοντες ἅμα τὰ εἴδωλα αὐτῶν, καὶ ἐκείνοις προσάπτοντες τὴν τούτων τιμωρίαν. Οἱ δὲ ἐπιεικέστεροι, καὶ κατὰ ποσὸν συμπαθεῖν δοκοῦντες, ὠνείδιζον πολὺ λέγοντες, Ποῦ ὁ Θεὸς αὐτῶν, καὶ τί αὐτοὺς ὤνησεν ἡ θρησκεία, ἣν καὶ πρὸ τῆς ἑαυτῶν εἵλοντο ψυχῆς; Καὶ τὰ μὲν ἀπ' ἐκείνων τοιαύτην εἶχε τὴν ποικιλίαν, τὰ δὲ καθ' ἡμᾶς ἐν μεγάλῳ καθειστήκει πένθει, διὰ τὸ μὴ δύνασθαι τὰ σώματα κρύψαι τῇ γῇ. Οὔτε γὰρ νὺξ συνεβάλλετο ἡμῖν πρὸς τοῦτο, οὔτε ἀργύρια ἔπειθεν, οὔτε λιτανεία ἐδυσώπει, παντὶ δὲ τρόπῳ παρετήρουν ὡς μέγα τι κερδανοῦντες, εἰ μὴ τύχοιεν ταφῆς." Τούτοις ἑξῆς μεθ' ἕτερα φασίν· "Τὰ οὖν σώματα τῶν μαρτύρων παντοίως παραδειγματισθέντα καὶ αἰθριασθέντα ἐπὶ ἡμέρας ἕξ, μετέπειτα καέντα καὶ αἰθαλωθέντα ὑπὸ τῶν ἀνόμων κατεσαρώθη εἰς τὸν Ῥοδανὸν ποταμὸν πλησίον παραρρέοντα, ὅπως μηδὲ λείψανον αὐτῶν φαίνηται ἐπὶ τῆς γῆς ἔτι. Καὶ ταῦτ' ἔπραττον, ὡς

22. κατὰ ποσόν] In tantum saltem ut eorum misereret quibus ita irridebant.

"δυνάμενοι νικῆσαι τὸν Θεὸν, καὶ ἀφελέσθαι αὐτῶν τὴν παλιγγενεσίαν, ἵνα ὡς ἔλεγον ἐκεῖνοι, μηδὲ ἐλπίδα σχῶσιν ἀναστάσεως, ἐφ' ᾗ πεποιθότες, ξένην τινὰ καὶ καινὴν ἡμῖν εἰσάγουσι θρησκείαν, καὶ καταφρονοῦσι τῶν δεινῶν, ἕτοιμοι καὶ μετὰ χαρᾶς ἥκοντες ἐπὶ τὸν θάνατον· νῦν ἴδωμεν εἰ ἀναστήσονται, καὶ εἰ δύναται βοηθῆσαι αὐτοῖς ὁ Θεὸς αὐτῶν, καὶ ἐξελέσθαι ἐκ τῶν χειρῶν ἡμῶν."

ΚΕΦ. Β.

Ὡς οἱ θεοφιλεῖς μάρτυρες τοὺς ἐν τῷ διωγμῷ διαπεπτωκότας ἐθεράπευον δεξιούμενοι.

(Nic. H. E. IV, 18.)

Τοιαῦτα καὶ τὰ κατὰ τὸν δεδηλωμένον αὐτοκράτορα ταῖς Χριστοῦ συμβέβηκεν ἐκκλησίαις, ἀφ' ὧν καὶ τὰ ἐν ταῖς λοιπαῖς ἐπαρχίαις ἐνηργημένα εἰκότι λογισμῷ στοχάζεσθαι πάρεστιν. Ἄξιον τούτοις ἐκ τῆς αὐτῆς ἐπισυνάψαι γραφῆς λέξεις ἑτέρας, δι' ὧν τὸ ἐπιεικὲς καὶ φιλάνθρωπον τῶν δεδηλωμένων μαρτύρων ἀναγέγραπται τούτοις αὐτοῖς τοῖς ῥήμασιν· "Οἳ καὶ ἐπὶ τοσοῦτον ζηλωταὶ καὶ μιμηταὶ Χρι- [Phil. ii. 6.] στοῦ ἐγένοντο, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ὥστε ἐν τοιαύτῃ δόξῃ ὑπάρχοντες, καὶ οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πολλάκις μαρτυρήσαντες, καὶ ἐκ θηρίων αὖθις ἀναληφθέντες καὶ τὰ καυτήρια καὶ τοὺς μώλωπας καὶ τὰ τραύματα ἔχοντες περικείμενα, οὔτ' αὐτοὶ μάρτυρας ἑαυτοὺς ἀνεκήρυττον, οὔτε μὴν ἡμῖν ἐπέτρεπον τούτῳ τῷ ὀνόματι προσαγορεύειν αὐτοὺς, ἀλλ' εἴποτέ τις ἡμῶν δι' ἐπιστολῆς ἢ διὰ λόγου μάρτυρας αὐτοὺς προσεῖπεν, ἐπέπλησσον πικρῶς. Ἡδέως γὰρ παρε- [Apoc. iii. 14.] χώρουν τὴν τῆς μαρτυρίας προσηγορίαν τῷ Χριστῷ, τῷ πιστῷ καὶ ἀληθινῷ μάρτυρι, καὶ πρωτοτόκῳ τῶν νεκρῶν,

8. Phil. ii. 6. Quem locum ne verearis interpretari uti linguæ ratio postulat, nempe Jesum Christum non avide arripuisse honorem Divinitatis. Neque enim laudi fuisset illud non arripuisse quod ne habere quidem licuisset, nec quidquam hoc ipso verius dici potest de vita ejus terrestri, quod debitum sibi honorem ita plerumque declinaverit, ut neque falsus extaret renuendo neque omnino citra necessitatem vindicaret. Vide S. Chrysostomum in loco.

18. Μάρτυρι.] Præter locum Apocalypseos citatum confer S. Joan. Ev. xviii. 37.

“ καὶ ἀρχηγῷ τῆς ζωῆς τοῦ Θεοῦ, καὶ ἐπεμιμνήσκοντο τῶν Col. i. 18, 20.
“ ἐξεληλυθότων ἤδη μαρτύρων, καὶ ἔλεγον, Ἐκεῖνοι ἤδη Act. iii. 15.
“ μάρτυρες, οὓς ἐν τῇ ὁμολογίᾳ Χριστὸς ἠξίωσεν ἀναληφ-
“ θῆναι, ἐπισφραγισάμενος αὐτῶν διὰ τῆς ἐξόδου τὴν μαρτυ-
“ ρίαν· ἡμεῖς δὲ ὁμόλογοι μέτριοι καὶ ταπεινοί. Καὶ μετὰ
“ δακρύων παρεκάλουν τοὺς ἀδελφοὺς, δεόμενοι ἵνα ἐκτενεῖς
“ εὐχαὶ γίνωνται πρὸς τὸ τελειωθῆναι αὐτούς. Καὶ τὴν μὲν
“ δύναμιν τῆς μαρτυρίας ἔργῳ ἐπεδείκνυντο, πολλὴν παρρη-
“ σίαν ἄγοντες πρὸς πάντα τὰ ἔθνη, καὶ τὴν εὐγένειαν διὰ
“ τῆς ὑπομονῆς καὶ ἀφοβίας καὶ ἀτρομίας φανερὰν ἐποίουν,
“ τὴν δὲ πρὸς τοὺς ἀδελφοὺς τῶν μαρτύρων προσηγορίαν
“ παρῃτοῦντο, ἐμπεπλησμένοι φόβου Θεοῦ.” Καὶ αὖθις μετὰ
βραχέα φασίν· “ Ἐταπείνουν ἑαυτοὺς ὑπὸ τὴν κραταιαν 1 Pet. v. 6.
“ χεῖρα, ὑφ᾽ ἧς ἱκανῶς νῦν εἰσὶν ὑψωμένοι. Τότε δὲ πᾶσι
“ μὲν ἀπελογοῦντο, κατηγόρουν δὲ οὐδενός· ἔλυον μὲν ἅπαν-
“ τας, ἐδέσμευον δὲ οὐδένα· καὶ ὑπὲρ τῶν τὰ δεινὰ διατιθέν-
“ των ηὔχοντο, καθάπερ Στέφανος ὁ τέλειος μάρτυς, Κύριε, Act. vii. 60.
“ μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Εἰ δ᾽ ὑπὲρ τῶν
“ λιθαζόντων ἐδέετο, πόσῳ μᾶλλον ὑπὲρ τῶν ἀδελφῶν;”
Καὶ αὖθις φασὶ μεθ᾽ ἕτερα· “ Οὗτος γὰρ καὶ μέγιστος αὐ-
“ τοῖς πρὸς αὐτὸν ὁ πόλεμος ἐγένετο, διὰ τὸ γνήσιον τῆς
“ ἀγάπης, ἵνα ἀποπνιχθεὶς ὁ θὴρ, οὓς πρότερον ᾤετο κα-
“ ταπεπωκέναι, ζῶντας ἐξεμέσῃ. Οὐ γὰρ ἔλαβον καύχημα
“ κατὰ τῶν πεπτωκότων, ἀλλ᾽ ἐν οἷς ἐπλεόναζον αὐτοὶ,
“ τοῦτο τοῖς ἐνδεεστέροις ἐπήρκουν, μητρικὰ σπλάγχνα
“ ἔχοντες, καὶ πολλὰ περὶ αὐτῶν ἐκχέοντες δάκρυα πρὸς τὸν
“ Πατέρα. Ζωὴν ᾐτήσαντο, καὶ ἔδωκεν αὐτοῖς· ἣν καὶ συνε-
“ μερίσαντο τοῖς πλησίον. Κατὰ πάντων νικηφόροι πρὸς
“ Θεὸν ἀπελθόντες, εἰρήνην ἀγαπήσαντες ἀεὶ, καὶ εἰρήνην
“ ἡμῖν παρεγγυήσαντες, μετ᾽ εἰρήνης ἐχώρησαν πρὸς Θεὸν,
“ μὴ καταλιπόντες πόνον τῇ μητρὶ, μηδὲ στάσιν καὶ πόλε-
“ μον τοῖς ἀδελφοῖς, ἀλλὰ χαρὰν καὶ εἰρήνην καὶ ὁμόνοιαν

33. ἔλυον] Vide hujus libri c. 1. §. viii. l. 4. p. 38. et quæ ibi notavimus. Quo adjici possit rem fusius tractari a B. Cypriano in libro quem de lapsis scripsit.

40. ὁ θὴρ] Confer historiam Jonæ, et 2 Tim. ii. 26.

“καὶ ἀγάπην.” Ταῦτα καὶ περὶ τῆς τῶν μακαρίων ἐκείνων πρὸς τοὺς παραπεπτωκότας τῶν ἀδελφῶν στοργῆς, ὠφελίμως προσκείσθω, τῆς ἀπανθρώπου καὶ ἀνηλεοῦς ἕνεκα διαθέσεως, τῶν μεταταῦτα ἀφειδῶς τοῖς Χριστοῦ μέλεσι προσενηνεγμένων.

S. IGNATII

EPISTOLA AD SMYRNÆOS.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ Πατρὸς καὶ τοῦ ἠγαπημένου Ἰησοῦ Χριστοῦ, ἠλεημένῃ ἐν παντὶ χαρίσματι, πεπληρωμένῃ ἐν πίστει καὶ ἀγάπῃ, ἀνυστερήτῳ οὔσῃ παντὸς χαρίσματος, θεοπρεπεστάτῃ καὶ ἁγιοφόρῳ, τῇ οὔσῃ ἐν Σμύρνῃ τῆς Ἀσίας, ἐν ἀμώμῳ πνεύματι καὶ λόγῳ Θεοῦ, πλεῖστα χαίρειν.

I. Δοξάζων Ἰησοῦν Χριστὸν τὸν Θεὸν τὸν οὕτως ὑμᾶς σοφίσαντα· ἐνόησα γὰρ ὑμᾶς κατηρτισμένους ἐν ἀκινήτῳ πίστει, ὥσπερ καθηλωμένους ἐν τῷ σταυρῷ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, σαρκί τε καὶ πνεύματι, καὶ ἡδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι Χριστοῦ, πεπληροφορημένους εἰς τὸν Κύριον ἡμῶν, ἀληθῶς ὄντα ἐκ γένους Δαβὶδ κατὰ σάρκα, υἱὸν Θεοῦ κατὰ θέλημα καὶ δύναμιν Θεοῦ, γεγενημένον ἀληθῶς ἐκ παρ-

54. Scil. Novatianorum, qui lapsos restitui posse denegabant.

Θεοφόρος] Titulum omnium Christianorum communem sine arrogantiâ sibi poterat assumere, ita vero postea appellatus est propter eundem coram Trajano fortiter assertum et martyrio vindicatum. Vid. Act. Martyrii c. 9. Hæreticos contra Necrophoros vocat, hujus epistolæ cap. V, quippe Dominum viventem in se non habentes. De sancto martyre vide quæ ex Eusebio excerpsimus p. 19.

ἠγαπημένου] Eph. i. 9. Frequentius, Ἀγαπητός.

ἀνυστερήτῳ] Alluditur ad 1 Cor. i. 7. Dona intelligenda sunt prophetiæ, linguarum, &c.

ἁγιοφόρῳ] Male Pearsonus, ad loc. *sanctorum feracem* Ecclesiam intelligit cum ad Eph. §. 9. vel ad Christum vel potius ad Sp. Sanctum referatur. Dici poterat de spiritu humano, secundum B. Paulum, 1 Cor. vi. 17. Eph. i. 4.

I. 1. Δοξάζων] Adhibetur participium continuata quodammodo oratione allocutionis præcedentis.

I. 7. θέλημα] Locum citat Theodo-

θένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ' αὐτοῦ, ἀληθῶς ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου τετράρχου καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκί· ἀφ' οὗ καρποῦ ἡμεῖς ἀπὸ τοῦ θεομακαρίστου αὐτοῦ πάθους, ἵνα ἄρῃ σύσσημον εἰς τοὺς αἰῶνας διὰ τῆς ἀναστάσεως εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ, εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν, ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ.

II. Ταῦτα γὰρ πάντα ἔπαθεν δι' ἡμᾶς, ἵνα σωθῶμεν. Καὶ ἀληθῶς ἔπαθεν, ὡς καὶ ἀληθῶς ἀνέστησεν ἑαυτὸν, οὐχ' ὥσπερ ἄπιστοί τινες λέγουσιν τὸ δοκεῖν αὐτὸν πεπονθέναι, αὐτοὶ τὸ δοκεῖν ὄντες· καὶ καθῶς φρονοῦσιν καὶ συμβήσεται αὐτοῖς, οὖσιν ἀσωμάτοις καὶ δαιμονικοῖς.

III. Ἐγὼ γὰρ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα, καὶ πιστεύω ὄντα. Καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐτοῖς· λάβετε, ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον. Καὶ εὐθὺς αὐτοῦ ἥψαντο, καὶ ἐπίστευσαν, κρατηθέντες τῇ σαρκὶ αὐτοῦ καὶ τῷ πνεύματι. Διὰ τοῦτο καὶ θανάτου κατεφρόνησαν, ηὑρέθησαν δὲ ὑπὲρ θάνατον. Μετὰ δὲ τὴν ἀνάστασιν συνέφαγεν αὐτοῖς καὶ συνέπιεν ὡς σαρκικὸς, καίπερ πνευματικῶς ἡνωμένος τῷ Πατρί.

IV. Ταῦτα δὴ παραινῶ ὑμῖν, ἀγαπητοί, εἰδὼς, ὅτι καὶ ὑμεῖς οὕτως ἔχετε. Προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθροπομόρφων, οὓς οὐ μόνον δεῖ ὑμᾶς μὴ παραδέχεσθαι, ἀλλ' εἰ δυνατόν ἐστι μηδὲ συναντᾷν, μόνον δὲ προσεύχεσθαι ὑπὲρ αὐτῶν, ἐάν πως μετανοήσωσιν· ὅπερ δύσκολον. Τούτου δὲ ἔχει ἐξουσίαν Ἰησοῦς Χριστὸς, τὸ ἀληθινὸν ἡμῶν ζῇν.

retus legendo *θεότητα*, quod facilius videtur, neque enim ab orthodoxis voluntas de æterna Filii generatione prædicatur. Sin recte legatur, de Humanitate intelligendum est.

12. *σύσσημον*] Alii intelligunt quasi *σημεῖον*, vexillum. Es. v. 26. favente interprete, Vossius ut videtur quasi *σύμβολον*, alius legit *συσσώμους*. Hujus vero sensum habes intelligendo *καρπὸν*, quasi ejusdem notæ.

II. 4. *ὄντες*.] Scilicet (Christiani,) cæteram nempe vitam hominum nihili æstimat, eum demum vere *esse* et *vivere* existimans qui in Deo *sit* et *vivat*.

III. 2. *Πέτρον*] Vide annotata ad hunc locum ab Eusebio citatum p. 21. not. 9 et 10.

5. *κρατηθέντες*] Ita edd. omnes post Vossium. MS.' *κραθέντες*, compendiaria, ut videtur, scriptione.' Jacobs. Huic lectioni favet vetus interpres vertendo *convicti*. Posset tamen intelligi virtus Christi divina atque humana cum Apostolis communicata. Vid. S. Chrys. in 1 Tim. Hom. xv. fin.

Εἰ γὰρ τὸ δοκεῖν ταῦτα ἐπράχθη ὑπὸ τοῦ Κυρίου ἡμῶν, κἀγὼ τῷ δοκεῖν δέδεμαι. Τί δὲ καὶ ἑαυτὸν ἔκδοτον δέδωκα τῷ θανάτῳ, πρὸς πῦρ, πρὸς μάχαιραν, πρὸς θηρία; Ἀλλ' ἐγγὺς μαχαίρας, ἐγγὺς Θεοῦ, μεταξὺ θηρίων, μεταξὺ Θεοῦ. Μόνον ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, εἰς τὸ συμπαθεῖν αὐτῷ, πάντα ὑπομένω, αὐτοῦ με ἐνδυναμοῦντος τοῦ τελείου ἀνθρώπου γενομένου.

V. Ὅν τινες ἀγνοοῦντες ἀρνοῦνται, μᾶλλον δὲ ἠρνήθησαν ὑπ' αὐτοῦ, ὄντες συνήγοροι τοῦ θανάτου μᾶλλον ἢ τῆς ἀληθείας· οὓς οὐκ ἔπεισαν αἱ προφητεῖαι, οὐδὲ ὁ νόμος Μωσέως, ἀλλ' οὐδὲ μέχρι νῦν τὸ Εὐαγγέλιον, οὐδὲ τὰ ἡμέτερα τῶν κατ' ἄνδρα παθήματα· καὶ γὰρ περὶ ἡμῶν τὸ αὐτὸ φρονοῦσιν. Τί γάρ με ὠφελεῖ τις, εἰ ἐμὲ ἐπαινεῖ, τὸν δὲ Κύριόν μου βλασφημεῖ, μὴ ὁμολογῶν αὐτὸν σαρκοφόρον; Ὁ δὲ τοῦτο μὴ λέγων, τελείως αὐτὸν ἀπήρνηται, ὢν νεκροφόρος. Τὰ δὲ ὀνόματα αὐτῶν, ὄντα ἄπιστα, οὐκ ἔδοξέ μοι ἐγγράψαι. Ἀλλὰ μηδὲ γένοιτό μοι αὐτῶν μνημονεύειν, μέχρις οὗ μετανοήσωσιν εἰς τὸ πάθος, ὅ ἐστιν ἡμῶν ἀνάστασις.

VI. Μηδεὶς πλανάσθω. Καὶ τὰ ἐπουράνια, καὶ ἡ δόξα τῶν ἀγγέλων, καὶ οἱ ἄρχοντες ὁρατοί τε καὶ ἀόρατοι, ἐὰν μὴ πιστεύσωσιν εἰς τὸ αἷμα Χριστοῦ, κἀκείνοις κρίσις ἐστίν. Ὁ χωρῶν χωρείτω. Τόπος μηδένα φυσιούτω· τὸ γὰρ ὅλον ἐστὶ πίστις καὶ ἀγάπη, ὧν οὐδὲν προκέκριται. Καταμάθετε δὲ τοὺς ἑτεροδοξοῦντας εἰς τὴν χάριν Ἰησοῦ Χριστοῦ τὴν

IV. 8. *ἑαυτὸν*] Similia tertiæ personæ exempla citat Jacobsonus Rom. viii. 23, 1 Cor. xi. 31, 1 Joh. i. 8.

V. 1. *μᾶλλον*] Conf. Matt. vii. 23. x. 33. xxv. 12. Gal. iv. 9. 2 Tim. ii. 12, 13.

V. 7. *νεκροφόρος.*] Carnem mortuam, vitæ novæ destitutam, circumferens. Vide quæ S. Chrysostomus disserit in locum Apostoli obscurissimum, 1 Cor. xv. 29. Hom. xl. init. Citat Pearsonus Matt. viii. 22. 1 Tim. v. 6. Apoc. iii. 1.

10. *μνημονεύειν*] Conf. Ps. xvi. 4. Notat vero Pearsonus regulam hanc in genuinis S. Ignatii epistolis religiose observari, non item in interpolatis.

11. *εἰς*] Ita Apostolus de Baptismo. Rom. vi. 3.

VI. 3. *πιστεύσωσιν*] Citant B. Hieronymum in Eph. de hac re dubie disserentem. Innuit aliquid certe S. Paulus Eph. iii. 10. de quo nec traditio satis certa ad nos pervenit, nec multum e sacræ Scripturæ fontibus hauriri posse videtur.

4. *Τόπος*] Ordo ecclesiasticus; de periculo vid. 1 Tim. iii. 6. De verbo autem plura e SS. Patribus afferunt, præcipue S. Clem. Rom. ad Cor. §. 40. *τοῖς ἱερεῦσιν ἴδιος ὁ τόπος προστέτακται.*

εἰς ἡμᾶς ἐλθοῦσαν, πῶς ἐναντίοι εἰσὶν τῇ γνώμῃ τοῦ Θεοῦ Περὶ ἀγάπης οὐ μέλει αὐτοῖς, οὐ περὶ χήρας, οὐ περὶ ὀρφανοῦ, οὐ περὶ θλιβομένου, οὐ περὶ δεδεμένου ἢ λελυμένου, οὐ περὶ πεινῶντος ἢ διψῶντος.

Εὐχαριστίας καὶ προσευχῆς ἀπέχονται, διὰ τὸ μὴ ὁμολογεῖν, τὴν εὐχαριστίαν σάρκα εἶναι τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν παθοῦσαν, ἣν τῇ χρηστότητι ὁ Πατὴρ ἤγειρεν.

VII. Οἱ οὖν ἀντιλέγοντες τῇ δωρεᾷ τοῦ Θεοῦ, συζητοῦντες ἀποθνήσκουσι. Συνέφερεν δὲ αὐτοῖς ἀγαπᾷν, ἵνα καὶ ἀναστῶσιν. Πρέπον οὖν ἐστιν ἀπέχεσθαι τῶν τοιούτων, καὶ μήτε κατ' ἰδίαν περὶ αὐτῶν λαλεῖν, μήτε κοινῇ· προσέχειν δὲ τοῖς Προφήταις, ἐξαιρέτως δὲ τῷ Εὐαγγελίῳ, ἐν ᾧ τὸ πάθος ἡμῖν δεδήλωται, καὶ ἡ ἀνάστασις τετελείωται.

VIII. Τοὺς δὲ μερισμοὺς φεύγετε, ὡς ἀρχὴν κακῶν. Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς Ἰησοῦς Χριστὸς τῷ Πατρί· καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς Ἀποστόλοις· τοὺς δὲ διακόνους ἐντρέπεσθε, ὡς Θεοῦ ἐντολήν. Μηδεὶς χωρὶς τοῦ ἐπισκόπου τὶ πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν ἐκκλησίαν. Ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα, ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ. Ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω· ὥσπερ ὅπου ἂν ᾖ Χριστὸς Ἰησοῦς, ἐκεῖ ἡ καθολικὴ ἐκκλησία. Οὐκ ἐξόν ἐστιν χωρὶς τοῦ ἐπισκόπου, οὔτε βαπτίζειν, οὔτε ἀγάπην ποιεῖν· ἀλλ' ὃ ἂν ἐκεῖνος δοκιμάσῃ, τοῦτο καὶ τῷ Θεῷ εὐάρεστον, ἵν' ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν ὃ πράσσεται.

12. σάρκα εἶναι] Non Tigurinorum modo moralem tantum effectum loco mysterii admittentes, tunc enim signo saltem externo abusi fuissent, sed ipsam carnis Dominicæ veritatem, etiam extra sacramentum, omnino rejicientes.

VII. 2. ἀγαπᾷν] Recte interpretatur Smithius *Acquiescere*, qui tamen affectus significationem non excludit.

VIII. 3. ἐντολήν] Quippe per mandatum in Ecclesia institutos. Episcoporum enim et Presbyterorum est Christi et Apostolorum vices gerere, Diaconi vero, secundum legem ecclesiasticam, divina auctoritate sancitam, *temporalibus* præsunt. Nisi forte idem significatur quod ad Trallianos scripserat ὑποτασσόμενοι τῷ ἐπισκόπῳ ὡς τῇ ἐντολῇ, nempe verbo episcopi quasi divino *mandato audientes*. Sed locutio non plane eadem est.

9. ἀγάπην] De Eucharistia prius dixerat, hic solennem cœnam significari, qua se excipiebant Christiani, notat Pearsonus.

11. δοκιμάσῃ.] Confer S. Clementem ad Corinthios Ep. 1. c. 41.

IX. Εὔλογόν ἐστιν λοιπὸν ἀνανῆψαι, καὶ, ὡς ἔτι καιρὸν ἔχομεν, εἰς Θεὸν μετανοεῖν. Καλῶς ἔχει Θεὸν καὶ ἐπίσκοπον εἰδέναι. Ὁ τιμῶν ἐπίσκοπον, ὑπὸ Θεοῦ τετίμηται· ὁ λάθρα ἐπισκόπου τι πράσσων, τῷ διαβόλῳ λατρεύει. Πάντα οὖν ὑμῖν ἐν χάριτι περισσευέτω, ἄξιοι γάρ ἐστε. Κατὰ πάντα με ἀνεπαύσατε, καὶ ὑμᾶς Ἰησοῦς Χριστός. Ἀπόντα με καὶ παρόντα ἠγαπήσατε. Ἀμείβοι ὑμῖν Θεὸς, δι' ὃν πάντα ὑπομένοντες αὐτοῦ τεύξεσθε.

X. Φίλωνα καὶ Ῥέων Ἀγαθόπουν, οἳ ἐπηκολούθησάν μοι εἰς λόγον Θεοῦ, καλῶς ἐποιήσατε ὑποδεξάμενοι ὡς διακόνους Χριστοῦ Θεοῦ· οἳ καὶ εὐχαριστοῦσιν τῷ Κυρίῳ ὑπὲρ ὑμῶν, ὅτι αὐτοὺς ἀνεπαύσατε κατὰ πάντα τρόπον. Οὐδὲν ὑμῖν οὐ μὴ ἀπολεῖται. Ἀντίψυχον ὑμῶν τὸ πνεῦμά μου, καὶ τὰ δεσμά μου, ἃ οὐχ ὑπερηφανήσατε οὐδὲ ἐπαισχύνθητε· οὐδὲ ὑμᾶς ἐπαισχυνθήσεται ἡ τελεία πίστις, Ἰησοῦς Χριστός.

XI. Ἡ προσευχὴ ὑμῶν ἀπῆλθεν ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας· ὅθεν δεδεμένος θεοπρεπεστάτοις δεσμοῖς πάντας ἀσπάζομαι, οὐκ ὢν ἄξιος ἐκεῖθεν εἶναι, ἔσχατος αὐτῶν ὤν, κατὰ θέλημα δὲ κατηξιώθην, οὐκ ἐκ συνειδότος, ἀλλ' ἐκ χάριτος Θεοῦ, ἥν εὔχομαι τελείαν μοι δοθῆναι, ἵνα ἐν τῇ προσευχῇ ὑμῶν Θεοῦ ἐπιτύχω. Ἵνα οὖν τέλειον ὑμῶν γένηται τὸ ἔργον καὶ ἐπὶ γῆς καὶ ἐν οὐρανῷ, πρέπει εἰς τιμὴν Θεοῦ χειροτονῆσαι τὴν ἐκκλησίαν ὑμῶν θεοπρεσβύτην εἰς τὸ γενόμενον ἕως Συρίας συγχαρῆναι αὐτοῖς, ὅτι εἰρηνεύουσιν,

IX. 2. Θεὸν] Hujus clausulæ interpretatio ad præcedentem referenda. Nempe a Deo alienatos significat, qui clam Episcopo aliquid agant; ad Deum vero ita demum redituros, si ad officium erga episcopum redierint.

ib. εἰδέναι] Citat Jacobsonus 1 Cor. xvi. 15. 1 Thess. v. 12. &c. quibus addi potest Can. Apost. 33. al. 37. Τοὺς Ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον.

X. 4. Οὐδὲν] *Nullum opus bonum.*

5. Ἀντίψυχον] Cf. Col. i. 24. Citat Jacobsonus varia e variis auctoribus, inter quæ S. Ign. ad Polyc. §. 6. et ad Eph. §. 21. locum etiam Eusebii, quem excerpsimus p. 17. l. 28.

6. Bruns. ἐπῃσχύνθητε.

7. ἡ τελεία πίστις] De Christi fidelitate intelligunt, citantes S. Johan. I. iv. 18. Heb. xii. 2. Col. i. 27. Rom. ix. 33. x. 11. Sed intelligi potest his nominibus fidem perfectam comprehendi, cum nemo adhuc hæreticorum Arianismum excogitaverat.

XI. 4. θέλημα] Absolute pro voluntate Dei. Cf. Rom. ii. 18. citant etiam nostrum ad Polyc. §. 8. &c.

5. ἐν τῇ προσευχῇ] Cf. Phil. i. 19.

καὶ ἀπέλαβον τὸ ἴδιον μέγεθος, καὶ ἀπεκατεστάθη αὐτοῖς τὸ ἴδιον σωματεῖον. Ἐφάνη μοι οὖν ἄξιον πρᾶγμα πέμψαι τινὰ τῶν ὑμετέρων μετ' ἐπιστολῆς, ἵνα συνδοξάσῃ τὴν κατὰ Θεὸν αὐτοῖς γενομένην εὐδίαν, καὶ ὅτι λιμένος ἤδη ἐτύγχανεν τῇ προσευχῇ ὑμῶν. Τέλειοι ὄντες, τέλεια καὶ φρονεῖτε· θέλουσιν γὰρ ὑμῖν εὖ πράσσειν Θεὸς ἕτοιμος εἰς τὸ παρασχεῖν.

XII. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι· ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούρρου, ὃν ἀπεστείλατε μετ' ἐμοῦ ἅμα Ἐφεσίοις τοῖς ἀδελφοῖς ὑμῶν, ὃς κατὰ πάντα με ἀνέπαυσεν. Καὶ ὄφελον πάντες αὐτὸν ἐμιμοῦντο, ὄντα ἐξεμπλάριον Θεοῦ διακονίας. Ἀμείψεται αὐτὸν ἡ χάρις κατὰ πάντα. Ἀσπάζομαι τὸν ἀξιόθεον ἐπίσκοπον, καὶ θεοπρεπέστατον πρεσβυτέριον, τοὺς συνδούλους μου διακόνους, καὶ τοὺς κατ' ἄνδρα καὶ κοινῇ πάντας ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ τῇ σαρκὶ αὐτοῦ καὶ τῷ αἵματι, πάθει τε καὶ ἀναστάσει σαρκικῇ τε καὶ πνευματικῇ, ἐν ὀνόματι, ἐν ἑνότητι Θεοῦ καὶ ὑμῶν. Χάρις ὑμῖν, ἔλεος, εἰρήνη, ὑπομονὴ διὰ παντός.

XIII. Ἀσπάζομαι τοὺς οἴκους τῶν ἀδελφῶν μου σὺν γυναιξὶ καὶ τέκνοις, καὶ τὰς παρθένους τὰς λεγομένας χήρας. Ἔρρωσθέ μοι ἐν δυνάμει Πνεύματος. Ἀσπάζεται ὑμᾶς Φίλων σὺν ἐμοὶ ὤν. Ἀσπάζομαι τὸν οἶκον Ταουΐας, ἣν εὔχομαι ἑδρᾶσθαι πίστει καὶ ἀγάπῃ σαρκικῇ τε καὶ πνευματικῇ. Ἀσπάζομαι Ἄλκην, τὸ ποθητόν μου ὄνομα, καὶ Δάφνον τὸν ἀσύγκριτον καὶ Εὔτεκνον καὶ πάντας κατ' ὄνομα. Ἔρρωσθε ἐν χάριτι Θεοῦ.

11. σωματεῖον] Quasi Anglice *Corporation*. Intelligunt de reditu eorum quos persecutio in fugam egerat.

14. τέλειοι] Cf. 1 Cor. xiii. 10. xiv. 20. Phil. iii. 15. Heb. v. 14.

XIII. 2. χήρας] Ita appellatæ fuisse videntur quæ viduis Deo servientibus tum vita proximæ, tum ordine Ecclesiastico erant conjunctæ. Vid. 1 Tim. v. 9.

S. IGNATII EPISTOLA

AD POLYCARPUM.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, Πολυκάρπῳ ἐπισκόπῳ ἐκκλησίας Σμυρναίων, μᾶλλον ἐπεσκοπημένῳ ὑπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, πλεῖστα χαίρειν.

I. Ἀποδεχόμενός σου τὴν ἐν Θεῷ γνώμην ἡδρασμένην ὡς ἐπὶ πέτραν ἀκίνητον, ὑπερδοξάζω, καταξιωθεὶς τοῦ προσώπου σου τοῦ ἀμώμου, οὗ ὀναίμην ἐν Θεῷ. Παρακαλῶ σε ἐν χάριτι, ᾗ ἐνδέδυσαι, προσθεῖναι τῷ δρόμῳ σου, καὶ πάντας παρακαλεῖν, ἵνα σώζωνται. Ἐκδίκει σου τὸν τόπον ἐν πάσῃ ἐπιμελείᾳ σαρκικῇ τε καὶ πνευματικῇ. Τῆς ἑνώσεως φρόντιζε, ἧς οὐδὲν ἄμεινον. Πάντας βάσταζε, ὡς καί σε ὁ Gal. vi. 2. Κύριος. Πάντων ἀνέχου ἐν ἀγάπῃ, ὥσπερ καὶ ποιεῖς. Προσευχαῖς σχόλαζε ἀδιαλείπτοις. Αἰτοῦ σύνεσιν πλείονα ἧς ἔχεις. Γρηγόρει, ἀκοίμητον πνεῦμα κεκτημένος. Τοῖς κατ' ἄνδρα κατὰ βοήθειαν Θεοῦ λάλει. Πάντων τὰς νόσους Gal. vi. 2. βάσταζε, ὡς τέλειος ἀθλητής. Ὅπου πλείων κόπος, πολὺ κέρδος.

Inscr. 1. Πολυκάρπῳ] De Polycarpo vide supra Eusebium, p. 26.

I 2. προσώπου] Hinc colligit Pearsonus Polycarpum ab Ignatio nunquam antea visum fuisse. Optat vero S. Ignatius eundem in seculo venturo aspicere.

5. ἐκδίκει] Quippe hoc seculo locum muneris Divini quotidianis injuriis impugnante.

II. Καλοὺς μαθητὰς ἐὰν φιλῇς, χάρις σοι οὐκ ἔστιν· μᾶλλον τοὺς λοιμοτέρους ἐν πραότητι ὑπότασσε. Οὐ πᾶν τραῦμα τῇ αὐτῇ ἐμπλάστρῳ θεραπεύεται. Τοὺς παροξυσμοὺς ἐμβροχαῖς παῦε. Φρόνιμος γίνου ὡς ὄφις ἐν ἅπασιν, καὶ ἀκέραιος, Matt. x. 16. ὡσεὶ περιστερά. Διὰ τοῦτο σαρκικὸς εἶ καὶ πνευματικὸς, ἵνα τὰ φαινόμενά σου εἰς πρόσωπον κολακεύῃς· τὰ δὲ ἀόρατα αἴτει ἵνα σοι φανερωθῇ, ὅπως μηδενὸς λείπῃ, καὶ παντὸς χαρίσματος περισσεύῃς. Ὁ καιρὸς ἀπαιτεῖ σε, ὡς κυβερνῆται ἀνέμους, καὶ ὡς χειμαζόμενος λιμένα, εἰς τὰ Θεοῦ ἐπιτυχεῖν. Νῆφε ὡς Θεοῦ ἀθλητής· τὸ θέμα ἀφθαρσία καὶ ζωὴ αἰώνιος, περὶ ἧς καὶ σὺ πέπεισαι. Κατὰ πάντα σου ἀντίψυχον ἐγὼ, καὶ τὰ δεσμά μου, ἃ ἠγάπησας.

III. Οἱ δοκοῦντες ἀξιόπιστοι εἶναι καὶ ἑτεροδιδασκαλοῦντες, μή σε καταπλησσέτωσαν. Στῆθι ἑδραῖος ὡς ἄκμων τυπτόμενος. Μεγάλου ἐστὶν ἀθλητοῦ τὸ δέρεσθαι καὶ νικᾶν. Μάλιστα δὲ ἕνεκεν Θεοῦ πάντα ὑπομένειν ἡμᾶς δεῖ, ἵνα καὶ αὐτὸς ἡμᾶς ὑπομείνῃ. Πλέον σπουδαῖος γίνου οὗ εἶ. Τοὺς καιροὺς καταμάνθανε· τὸν ὑπὲρ καιρὸν προσδόκα, τὸν ἄχρονον, τὸν ἀόρατον, τὸν δι' ἡμᾶς ὁρατὸν, τὸν ἀψηλάφητον, τὸν ἀπαθῆ, τὸν δι' ἡμᾶς παθητὸν, τὸν κατὰ πάντα τρόπον δι' ἡμᾶς ὑπομείναντα.

IV. Χῆραι μὴ ἀμελείσθωσαν. Μετὰ τὸν Κύριον σὺ αὐτῶν φροντιστὴς ἔσο. Μηδὲν ἄνευ γνώμης σου γινέσθω, μηδὲ σὺ ἄνευ Θεοῦ τι πρᾶσσε· ὅπερ οὐδὲ πράσσεις, εὐσταθής. Πυκνότερον συναγωγαὶ γινέσθωσαν. Ἐξ ὀνόματος πάντας ζήτει. Δούλους καὶ δούλας μὴ ὑπερηφάνει· ἀλλὰ μηδὲ αὐτοὶ φυσιού-

II. 6. κολακεύῃς] Bono sensu intelligendum, nempe ut hominum infirmitati per hominis non omnia videntis regimen consulatur.

ib. ἀόρατα] Dæmonum puto machinationes, quibus non nisi per dona quædam spiritualia iri obviam posset.

8. ἀπαιτεῖ σε] Scil. ad operam bene navandam.

10. θέμα. *Præmium.*

11. ἀντίψυχον] Vide quæ supra notavimus Smyrn. x. 5. p. 48. Hic vero innuere videtur martyrii sui, quasi sacrificii cujusdam, participes fieri eos, quos vinculorum suorum non puduerat.

III. 6. τὸν ὑπὲρ καιρὸν] Quidam τὸν ὑπέρκαιρον, nec multum sane interest. Nota vero S. Martyris animum mysterio Incarnationis libenter immorantem.

IV. 3. εὐσταθής] Reddit Pearsonus *constans quum sis*, additis quibusdam de vocis origine et usu.

4. συναγωγαὶ] Conf. Heb. x. 25.

σθωσαν, ἀλλ' εἰς δόξαν Θεοῦ πλέον δουλευέτωσαν, ἵνα κρείττονος ἐλευθερίας ἀπὸ Θεοῦ τύχωσιν. Μὴ ἐράτωσαν ἀπὸ τοῦ κοινοῦ ἐλευθεροῦσθαι, ἵνα μὴ δοῦλοι εὑρεθῶσιν ἐπιθυμίας.

V. Τὰς κακοτεχνίας φεῦγε· μᾶλλον δὲ περὶ τούτων ὁμιλίαν ποιοῦ. Ταῖς ἀδελφαῖς μου προσλάλει, ἀγαπᾷν τὸν Κύριον, καὶ τοῖς συμβίοις ἀρκεῖσθαι σαρκὶ καὶ πνεύματι. Ὁμοίως καὶ τοῖς ἀδελφοῖς μου παράγγελλε ἐν ὀνόματι Ἰησοῦ
Eph. v. 25. Χριστοῦ, ἀγαπᾷν τὰς συμβίους ὡς ὁ Κύριος τὴν Ἐκκλησίαν. Εἴ τις δύναται ἐν ἁγνείᾳ μένειν εἰς τιμὴν τοῦ Κυρίου τῆς σαρκὸς, ἐν ἀκαυχησίᾳ μενέτω. Ἐὰν καυχήσηται, ἀπώλετο· καὶ ἐὰν γνωσθῇ πλέον τοῦ ἐπισκόπου, ἔφθαρται. Πρέπει δὲ τοῖς γαμοῦσι καὶ ταῖς γαμουμέναις μετὰ γνώμης τοῦ ἐπισκόπου τὴν ἕνωσιν ποιεῖσθαι, ἵνα ὁ γάμος ᾖ κατὰ Θεὸν καὶ μὴ κατ' ἐπιθυμίαν. Πάντα εἰς τιμὴν Θεοῦ γινέσθω.

VI. Τῷ ἐπισκόπῳ προσέχετε, ἵνα καὶ ὁ Θεὸς ὑμῖν. Ἀντίψυχον ἐγὼ τῶν ὑποτασσομένων τῷ ἐπισκόπῳ, πρεσβυτέροις, διακόνοις· καὶ μετ' αὐτῶν μοι τὸ μέρος γένοιτο σχεῖν ἐν Θεῷ. Συγκοπιᾶτε ἀλλήλοις, συναθλεῖτε, συντρέχετε, συμπάσχετε, συγκοιμᾶσθε, συνεγείρεσθε, ὡς Θεοῦ οἰκονόμοι καὶ πάρεδροι καὶ ὑπηρέται. Ἀρέσκετε ᾧ στρατεύεσθε, ἀφ' οὗ καὶ τὰ ὀψώνια κομίζεσθε. Μήτις ὑμῶν δεσέρτωρ εὑρεθῇ. Τὸ βάπτισμα ὑμῶν μενέτω ὡς ὅπλα, ἡ πίστις ὡς περικεφαλαία, ἡ ἀγάπη ὡς δόρυ, ἡ ὑπομονὴ ὡς πανοπλία. Τὰ δεπό-

IV. 6. πλέον] Vid. Eph. vi. 5. Col. iii. 22. 1 Tim. vi. 1. Tit. ii. 9. 1 Pet. 2. 18.

7. Μὴ ἐράτωσαν] Non prohibet redemptionem, sed immodicum servi studium ut ipse per Ecclesiam redimatur, confer Apostolum, 1 Cor. vii. 21.

8. δοῦλοι] Vid. 2 Pet. ii. 18.

V. 2. ὁμιλίαν] Inserunt quidam μὴ, sed nimis fortasse audacter. Quippe contra malas artes, quæcunque eæ fuerint, loqui potuit Episcopus.

6. τοῦ Κυρίου τῆς σαρκὸς] Intelligunt alii *carnis Dominicæ*, alii *Domini carnis*, nec sane multum interest, carnem enim nostram suscipiendo Dominus carnis factus est Christus, ad cujus gloriam pertinet ut castitas etiam virginalis, de qua hic sermo est, in Ecclesia servetur. Vid. 1 Cor. vi. 13. seqq. Apoc. xiv. 4.

8. γνωσθῇ] *Si se magis spectandum præbuerit.*

VI. 6. πάρεδροι] ordinum analogiam intelligit Pearsonus, ut Πάρεδροι sint Presbyteri, scilicet Episcopo assidentes.

ib. Ἀρέσκετε] Conf. 2 Tim. ii. 4. Voces Latinas, quæ mox habentur, lector statim agnoscet.

8. ὅπλα] Vid. Eph. vi. 11. 1 Thess. v. 8.

9. δεπόσιτα] Suetonium citat Jacobsonus post Ruchatum, vit.

σιτα ὑμῶν τὰ ἔργα ὑμῶν, ἵνα τὰ ἄκκεπτα ὑμῶν ἄξια κομίσησθε. Μακροθυμήσατε οὖν μετ' ἀλλήλων ἐν πρᾳότητι, ὡς ὁ Θεὸς ὑμῶν. Ὀναίμην ὑμῶν διὰ παντός.

VII. Ἐπειδὴ ἡ ἐκκλησία ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας εἰρηνεύει, ὡς ἐδηλώθη μοι, διὰ τὴν προσευχὴν ὑμῶν, κἀγὼ εὐθυμότερος ἐγενόμην ἐν ἀμεριμνίᾳ Θεοῦ, ἐάν περ διὰ τοῦ παθεῖν Θεοῦ ἐπιτύχω, εἰς τὸ εὑρεθῆναί με ἐν τῇ ἀναστάσει ὑμῶν παθητήν. Πρέπει, Πολύκαρπε θεομακαριστότατε, συμβούλιον ἀγαγεῖν θεοπρεπέστατον, καὶ χειροτονῆσαί τινα, ὃν ἀγαπητὸν λίαν ἔχετε καὶ ἄοκνον, ὃς δυνήσεται θεοδρόμος καλεῖσθαι· τοῦτον καταξιῶσαι, ἵνα πορευθεὶς εἰς Συρίαν δοξάσῃ ὑμῶν τὴν ἄοκνον ἀγάπην εἰς δόξαν Χριστοῦ. Χριστιανὸς ἑαυτοῦ ἐξουσίαν οὐκ ἔχει, ἀλλὰ Θεῷ σχολάζει. Τοῦτο τὸ ἔργον Θεοῦ ἐστὶν καὶ ὑμῶν, ὅταν αὐτῷ ἀπαρτίσητε. Πιστεύω γὰρ τῇ χάριτι, ὅτι ἕτοιμοί ἐστε εἰς εὐποιίαν Θεῷ ἀνήκουσαν. Εἰδὼς οὖν ὑμῶν τὸ σύντονον τῆς ἀληθείας, δι' ὀλίγων ὑμᾶς γραμμάτων παρεκάλεσα.

VIII. Ἐπεὶ πάσαις ταῖς ἐκκλησίαις οὐκ ἠδυνήθην γράψαι, διὰ τὸ ἐξαίφνης πλεῖν με ἀπὸ Τρωάδος εἰς Νεάπολιν, ὡς τὸ θέλημα προστάσσει, γράψεις ταῖς ἔμπροσθεν ἐκκλησίαις, ὡς Θεοῦ γνώμην κεκτημένος, εἰς τὸ καὶ αὐτοὺς τὸ αὐτὸ ποιῆσαι· οἱ μὲν δυνάμενοι πεζοὺς πέμψαι, οἱ δὲ ἐπιστολὰς διὰ τῶν ὑπό σου πεμπομένων, ἵνα δοξασθῆτε αἰωνίῳ ἔργῳ, ὡς ἄξιος ὤν. Ἀσπάζομαι πάντας ἐξ ὀνόματος, καὶ τὴν τοῦ Ἐπιτρόπου σὺν ὅλῳ τῷ οἴκῳ αὐτῆς καὶ τῶν τέκνων. Ἀσπά-

Domit. §. 7. indicantem consuetudinem legionum, ut militum pecuniæ ad signa *deponerentur*. Addit ipse Vegetium ii. 20. Mox citat Ciceronem pro Q. Rosc. Com. 2. In codice *accepti* et expensi, &c. ut videatur S. Ignatius librum rationum, apud Deum asservatum, cogitavisse. 2 Tim. i. 12.

VII. 5. *παθητήν*] Si vera est lectio, martyrem intellige, sed vox ignota nisi per analogiam, unde plerique reponunt *μαθητήν*.

9. *δοξάσῃ*] *Publice demonstret;* neque hoc erat jactantiæ, sed officii. vid. Johan. xvii. 21, 22.

11. *αὐτῷ*] Nempe *Deo*, ita enim cod. MS. plerique *αὐτὸ*, sed lege lineam sequentem.

VIII. 3. *ἔμπροσθεν*] Varie interpretantur, sed nihil aptius videtur quam ut intelligas Ecclesias Antiochiæ propiores, quippe ad primam itineris partem sitas. Audierat enim nuper S. Ignatius requiem istam, quam Ecclesiæ Antiochenæ gratulabatur.

7. *ὤν*] Hoc de Polycarpo solo, quem tamen in prioribus cum aliis conjunxerat.

ζομαι Ἄτταλον τὸν ἀγαπητόν μου. Ἀσπάζομαι τὸν μέλλοντα καταξιοῦσθαι τοῦ εἰς Συρίαν πορεύεσθαι. Ἔσται ἡ χάρις μετ' αὐτοῦ διὰ παντὸς, καὶ τοῦ πέμποντος αὐτὸν Πολυκάρπου. Ἐρρῶσθαι ὑμᾶς διὰ παντὸς ἐν Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ εὔχομαι, ἐν ᾧ διαμείνητε ἐν ἑνότητι Θεοῦ καὶ ἐπισκοπῇ. Ἀσπάζομαι Ἄλκην τὸ ποθητόν μου ὄνομα. Ἔρρωσθε ἐν Κυρίῳ.

14. ἐπισκοπῇ] Confer inscriptionem hujus Epistolæ.

S. CLEM. ALEXANDRINI

PÆDAGOGI LIB. I.

CAP. VII.

Τίς ὁ παιδαγωγὸς, καὶ περὶ τῆς παιδαγωγίας αὐτοῦ.

I. Ἐπεὶ τοίνυν ἀπεδείξαμεν παῖδας ἡμᾶς τοὺς πάντας ὑπὸ τῆς γραφῆς καλουμένους, οὐ μόνον ἀλλὰ καὶ τοὺς Χριστῷ κατηκολουθηκότας ἡμᾶς νηπίους ἀλληγορουμένους, μόνον δὲ εἶναι τέλειον τὸν Πατέρα τῶν ὅλων—ἐν αὐτῷ γὰρ ὁ Υἱὸς καὶ ἐν τῷ Υἱῷ ὁ Πατήρ—, καὶ ὥρα ἡμῖν ἑπομένοις τῇ τάξει καὶ τὸν παιδαγωγὸν ἡμῶν εἰπεῖν, ὅστις ἐστί. Καλεῖται δὲ Ἰησοῦς. Ἔσθ' ὅτε οὖν ποιμένα ἑαυτὸν καλεῖ καὶ λέγει, "ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός," κατὰ μεταφορὰν ἀπὸ τῶν Joh. x. 11. ποιμένων τῶν καθηγουμένων τοῖς προβάτοις, ὁ καθηγούμενος τῶν παιδίων, παιδαγωγὸς νοούμενος, ὁ τῶν νηπίων κηδεμονικὸς ποιμήν· ἁπλοῖ γὰρ οἱ νήπιοι ὡς πρόβατα ἀλληγορούμενοι· "καὶ γενήσονται," φησὶν, "οἱ πάντες μία ποίμνη καὶ εἷς Ib. v. 16. "ποιμήν." Παιδαγωγὸς οὖν εἰκότως ὁ Λόγος ὁ τοὺς παῖδας

4. *ἐν αὐτῷ*] Itaque Patrem solum perfectum appellando Filius non excluditur.

7. *Ἰησοῦς*] Nomen incarnationis, quo Christum Hominem appellamus.

13. *Λόγος*] Ambigue sæpissime Verbi nomine utitur S. Clemens, ita ut eadem et de Deo Verbo et de verbo Dei, scil. effato, accipi possint. Ejusmodi locutionem habes 1 Joh. i. 1. confer etiam quæ S. Justinus Martyr in Apologia passim disserit de Verbo inter gentes disseminato, ubi Christum semper operantem intelligit. Hoc autem in legendo S. Clemente semper teneas (quod si neglexeris tantum aberit quin summum philosophum intelligas, ut pro scriptore fere omnium ineptissimo habiturus sis) nempe eum in sacris scripturis unum ubique scopum dispensationum divinarum contemplari, et singula eo animo notare ut 'Hominem Dei' (2 Tim. iii. 17.) ad perfectam Christi imaginem effingat.

ἡμᾶς εἰς σωτηρίαν ἄγων. Ἐναργέστατα γοῦν ὁ Λόγος Hos. v. 2. περὶ ἑαυτοῦ διὰ Ὠσηὲ εἴρηκεν· "ἐγὼ δὲ παιδευτὴς ὑμῶν εἰμί." Παιδαγωγία δὲ ἡ θεοσέβεια, μάθησις οὖσα Θεοῦ θεραπείας, καὶ παίδευσις εἰς ἐπίγνωσιν ἀληθείας, ἀγωγή τε ὀρθὴ, ἀνάγουσα εἰς οὐρανόν.

II. Παιδαγωγία δὲ καλεῖται πολλαχῶς· καὶ γὰρ ἡ τοῦ ἀγομένου καὶ μανθάνοντος, καὶ ἡ τοῦ ἄγοντος καὶ διδάσκοντος, καὶ αὐτὴ τρίτον ἡ ἀγωγὴ, καὶ τὰ διδασκόμενα τέταρτον, οἷον αἱ ἐντολαί. Ἔστι δὲ ἡ κατὰ Θεὸν παιδαγωγία κατευθυσμὸς ἀληθείας εἰς ἐποπτείαν Θεοῦ, καὶ πράξεων ἁγίων ὑποτύπωσις ἐν αἰωνίῳ διαμονῇ. Ὥσπερ οὖν κατευθύνει τὴν φάλαγγα ὁ στρατηγὸς τῆς σωτηρίας τῶν μισθοφόρων προμηθούμενος, καὶ ὡς ὁ κυβερνήτης οἰακίζει τὸ σκάφος σώζειν προαιρούμενος τοὺς ἐμπλέοντας, οὕτως καὶ ὁ παιδαγωγὸς ἄγει τοὺς παῖδας ἐπὶ τὴν σωτήριον δίαιταν τῆς ἡμῶν αὐτῶν ἕνεκεν κηδεμονίας· καὶ καθόλου ὁπόσα ἂν παρὰ τοῦ Θεοῦ εὐλόγως αἰτήσαιμεν ἡμῖν γενέσθαι, ταῦτα πειθομένοις τῷ παιδαγωγῷ περιέσται. Ὅνπερ οὖν τρόπον ὁ κυβερνήτης οὐκ αἰεὶ τοῖς ἀνέμοις ὑπείκει, ἀντίπρωρος δὲ ἔσθ' ὅτε ὅλαις ἀνθίσταται καταιγίσιν, οὕτως ὁ παιδαγωγὸς οὐχὶ τοῖς ἐν τῷ κόσμῳ τῷδε καταπνέουσι νόμοις ὑπείκει ποτὲ, οὐδὲ ἐπιτρέπει αὐτοῖς τὸ παιδίον, ὥσπερ σκάφος, εἰς θηριώδη καὶ ἀσελγῆ προσρῆξαι δίαιταν, μόνῳ δὲ ἄρα τῷ ἀληθείας πνεύματι ἔπουρος ἀρθεὶς, ἀντέχεται μάλα ἐρρωμένως τῶν οἰάκων τοῦ παιδὸς, τῶν ὤτων λέγω, ἕως ἂν ἀβλαβὲς καθορμίσῃ τὸ παιδίον εἰς τὸν λιμένα τῶν οὐρανῶν. Τὸ μὲν γὰρ πάτριον καλούμενον παρ' αὐτοῖς ἔθος, ὅσον οὐδέπω παρέρχεται· ἡ δὲ ἀγωγὴ ἡ θεία κτῆμά ἐστιν εἰς ἀεὶ παραμένον.

III. Ἀχιλλέως μὲν οὖν παιδαγωγὸν τὸν Φοίνικά φασι

II. 5. ἐποπτείαν] Verbum e mysteriis desumptum, quo significatur perfecta Dei cognitio.

6. διαμονῇ] Recte Potterus '*Perseverantia*,' qui etiam notat S. Clementem alibi de rebus nostris voce *ἀΐδιος* usum. Etsi finem habeat probatio, voluntas tamen in æternum eodem tendet quo ante supremum diem directa fuerit.

16. νόμοις] Scilicet Imperii secularis, sive malæ consuetudinis legibus.

21. πάτριον] Ethnicum scilicet, de quo multa disseruerat in Protreptico. c. x.

γεγονέναι, καὶ τῶν Κροίσου παίδων Ἄδραστον, Ἀλεξάνδρου δὲ Λεωνίδην, καὶ Φιλίππου Ναυσίθοον. Ἀλλ' ὁ μὲν γυναικομανὴς ὁ Φοίνιξ ἦν, ὁ δὲ φυγὰς ὁ Ἄδραστος ἦν, Λεωνίδης δὲ οὐ περιεῖλεν τὸν τῦφον τοῦ Μακεδόνος, οὐδὲ Ναυσίθοος μεθύοντα τὸν ἐκ Πέλλης ἰάσατο, Ἀλκιβιάδου δὲ τὴν πορνείαν ὁ Θρᾷξ ἐπισχεῖν οὐκ ἴσχυσε Ζώπυρος, ἀλλ' ὠνητὸν ἀνδράποδον ὁ Ζώπυρος ἦν, καὶ τῶν Θεμιστοκλέους παίδων ὁ παιδαγωγὸς Σίκιννος οἰκέτης ῥᾴθυμος ἦν, ὀρχεῖσθαί φασιν αὐτὸν καὶ σικιννίζειν εὑρηκέναι. Οὐκ ἔλαθον ἡμᾶς οἱ παρὰ Πέρσαις βασίλειοι καλούμενοι παιδαγωγοί, οὓς τέτταρας τὸν ἀριθμὸν ἀριστίνδην ἐκλέγοντες ἐκ πάντων Περσῶν οἱ βασιλεῖς Περσῶν τοῖς σφῶν αὐτῶν ἐφίστων παισίν· ἀλλὰ τοξεύειν μόνον οἱ παῖδες αὐτοῖς μανθάνουσιν, ἡβήσαντες δὲ ἀδελφαῖς καὶ μητράσι καὶ γυναιξὶ, γαμεταῖς τε ἅμα καὶ παλλακίσιν ἀναρίθμοις ἐπιμίσγονται, καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι. Ὁ δὲ ἡμέτερος παιδαγωγὸς ἅγιος Θεὸς Ἰησοῦς, ὁ πάσης τῆς ἀνθρωπότητος καθηγεμὼν Λόγος, αὐτὸς ὁ φιλάνθρωπος Θεός ἐστι παιδαγωγός.

IV. Λέγει δέ που διὰ τῆς ᾠδῆς τὸ Πνεῦμα τὸ ἅγιον εἰς Deut. xxxii.
αὐτὸν, "αὐτάρκησε τὸν λαὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος 10—12.
"ἐν ἀνύδρῳ ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύ-"λαξεν ὡς κόρην ὀφθαλμοῦ, ὡς ἀετὸς σκεπάσαι νοσσιὰν "αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν, διεὶς τὰς "πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ "τῶν μεταφρένων αὐτοῦ· Κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ "ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος." Σαφῶς οἶμαι τὸν παιδαγωγὸν ἐνδείκνυται ἡ γραφὴ τὴν ἀγωγὴν αὐτοῦ διηγουμένη. Πάλιν δὲ ὅταν λέγῃ διὰ τοῦ ἰδίου προσώπου, ἑαυτὸν ὁμολογεῖ παιδαγωγὸν, "ἐγὼ Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών Ex. xx. 2.
"σε ἐκ γῆς Αἰγύπτου." Τίς οὖν ἔχει ἐξουσίαν τοῦ ἄγειν εἴσω τε καὶ ἔξω; οὐχὶ ὁ παιδαγωγός; Οὗτος ὤφθη τῷ Ἀβραὰμ καὶ εἶπεν αὐτῷ, "ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐνώπιόν "μου." Τοῦτον δὲ παιδαγωγικώτατα ὑποκατασκευάζει παῖδα

III. 10. σικιννίζειν] De Sicinno citat Potterus Plutarchum in vit. Them. De hac autem saltationis specie varia traduntur et incerta.

Gen. xvii. 1. πιστόν· "καὶ γίνου," φήσας, "ἄμεμπτος, καὶ θήσω τὴν
"διαθήκην μου ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ, καὶ τοῦ
"σπέρματός σου." Φιλίας ἐνταῦθα ἐπιστατικῆς ἐστὶ κοι-
νωνία· τοῦ δὲ Ἰακὼβ ἐναργέστατα παιδαγωγὸς εἶναι φαίνεται.
Gen. xxviii. 15. Λέγει γοῦν αὐτῷ, "ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν
"τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν
"γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως τοῦ ποιῆσαί με
"ὅσα ἐλάλησά σοι." Τούτῳ δὲ καὶ συμπαλαίειν λέγεται.
Gen. xxxii. 24. "Ὑπελείφθη δὲ," φησὶν, "Ἰακὼβ μόνος καὶ ἐπάλαιεν μετ'
"αὐτοῦ ἄνθρωπος," ὁ παιδαγωγὸς, "μέχρι πρωΐ."

V. Οὗτος ἦν ὁ ἄνθρωπος ὁ ἄγων καὶ φέρων, ὁ συγγυμ-
ναζόμενος καὶ ἀλείφων κατὰ τοῦ πονηροῦ τὸν ἀσκητὴν Ἰακώβ.
Ὅτι δὲ ὁ Λόγος ἦν ὁ ἀλείπτης ἅμα τῷ Ἰακὼβ καὶ παιδαγωγὸς
Ib. v. 29. τῆς ἀνθρωπότητος, "ἠρώτησε," φησὶν, "αὐτὸν καὶ εἶπεν
"αὐτῷ· ἀνάγγειλόν μοι τί τὸ ὄνομά σου. Καὶ εἶπεν,
"ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου;" Ἐτήρει γὰρ τὸ ὄνομα
τὸ καινὸν τῷ νέῳ λαῷ τῷ νηπίῳ. Ἔτι δὲ καὶ ἀνονόμαστος
ἦν ὁ Θεὸς ὁ Κύριος, μηδέπω γεγενημένος ἄνθρωπος. Πλὴν
ἀλλὰ "ὁ Ἰακὼβ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου εἶδος
Ib. v. 30. Θεοῦ, εἶδον γὰρ," φησὶν, "Θεὸν πρόσωπον πρὸς πρόσωπον,
"καὶ ἐσώθη μου ἡ ψυχή." Πρόσωπον δὲ τοῦ Θεοῦ ὁ Λόγος,
ᾧ φωτίζεται ὁ Θεὸς καὶ γνωρίζεται. Τότε καὶ Ἰσραὴλ
ἐπωνόμασται, ὅτε εἶδε τὸν Θεὸν τὸν Κύριον. Οὗτός ἐστιν
ὁ Θεὸς, ὁ Λόγος, ὁ παιδαγωγὸς, ὁ φήσας αὐτῷ πάλιν
Gen. xlvi. 3. ὕστερον, "μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον." Ὅρα πῶς
μὲν ἕπεται τῷ δικαίῳ ὁ παιδαγωγὸς, ὅπως τε καὶ ἀλείφῃ

18. ἐπιστατικῆς] Quæ, scilicet, per singulare quoddam divinæ providentiæ patrocinium exercenda erat.

V. 2. ἀσκητὴν] Non temere videntur fere omnes Ecclesiastici scriptores exercitationem quandam et disciplinam morum primis saltem Patriarchis tribuisse. Talem nempe pietatem in tali seculo nemo sine contentione valida præstare potuisset. Cf. Gen. xviii. 19. Ex. iii. 15, 16. Heb. xi. 16.

7. νηπίῳ] De Ecclesia Novi Testamenti, per baptismum renata, intelligunt SS. Patres Ps. xxii. 31. conf. Matt. xviii. 3. Joh. iii. 3, 5. 1 Pet. ii. 2.

Ibid. ἀνονόμαστος] In nominibus divinis latet certe mysterium aliquod, et majus quidem quam ut rem paucis explicandam suscipere audeamus. Confer autem Ex. iii. 14. vi. 3. Joh. viii. 58.

11. πρόσωπον] Ita intelligere possis Ex. xxxiii. 14. ubi tamen LXX. "Αὐτὸς προπορεύσομαί σου."

τὸν ἀσκητὴν, πτερνίζειν διδάσκων τὸν ἀνταγωνιστήν. Αὐτὸς
γοῦν οὗτος καὶ τὸν Μωσέα διδάσκει παιδαγωγεῖν· λέγει
γὰρ ὁ Κύριος, " εἴ τις ἡμάρτηκεν ἐνώπιόν μου, ἐξαλείφω Ex. xxxii.
" αὐτὸν ἐκ τῆς βίβλου μου, νυνὶ δὲ βάδιζε καὶ ὁδήγησον τὸν 33, 34.
" λαὸν τοῦτον εἰς τὸν τόπον, ὃν εἶπόν σοι."

VI. Ἐνταῦθα διδάσκαλός ἐστι παιδαγωγίας· καὶ γὰρ ἦν
ὡς ἀληθῶς διὰ μὲν Μωσέως παιδαγωγὸς ὁ Κύριος τοῦ λαοῦ
τοῦ παλαιοῦ, δι' αὐτοῦ δὲ τοῦ νέου καθηγεμὼν λαοῦ, πρόσω-
πον πρὸς πρόσωπον. " Ἰδοὺ" γὰρ, φησὶ τῷ Μωσεῖ, " ὁ Ex. xxxii.
" ἄγγελός μου προπορεύεταί σου" τὴν εὐαγγέλιον καὶ 34.
ἡγεμόνιον ἐπιστήσας τοῦ Λόγου δύναμιν, τὸ δὲ ἀξίωμα τὸ
κυριακὸν φυλάττων. " Ἧι δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι," φησὶν, Ib.
" ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν," τουτέστιν, ᾗ δ'
ἂν ἡμέρᾳ κριτὴς καθεσθῶ, ἀποδώσω τῶν ἁμαρτιῶν αὐτῶν τὰ
ἀντάξια· ὁ γὰρ αὐτὸς παιδαγωγὸς καὶ κριτὴς τοὺς παρακού-
σαντας αὐτοῦ δικάζει, τὸ δὲ ἁμάρτημα αὐτῶν οὐ παρασιωπᾷ
ὁ φιλάνθρωπος Λόγος, ἐλέγχει δὲ, ἵνα μετανοήσωσιν· " θέλει
" γὰρ ὁ Κύριος τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν Ez. xviii.
" θάνατον." ἡμεῖς δὲ τὰς ἄλλων ἁμαρτίας ὡς νήπιοι δι' ἀκοῆς 23, 32. xxxiii. 11.
παραδεξάμενοι, φόβῳ τῆς ἀπειλῆς τοῦ μὴ τὰ ὅμοια παθεῖν
ἀποσχώμεθα τῶν ἴσων πλημμελημάτων. Τί οὖν ἦν ὃ ἥμαρτον; Gen. xlix. 6.
" ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους καὶ τῇ ἐπι-
" θυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον, ἐπικατάρατος ὁ θυμὸς
" αὐτῶν."

VII. Τίς ἂν οὖν τούτου μᾶλλον ἡμᾶς φιλανθρωπότερον
παιδεῦσαι; Τὸ μὲν οὖν πρότερον τῷ πρεσβυτέρῳ λαῷ πρεσ-
βυτέρα διαθήκη ἦν, καὶ νόμος ἐπαιδαγώγει τὸν λαὸν μετὰ
φόβου, καὶ Λόγος ἄγγελος ἦν, καινῷ δὲ καὶ νέῳ λαῷ καινὴ

17. πτερνίζειν] Confert Potterus Gen. xxv. 26. xxvii. 36.

VI. 7. φυλάττων] *Retinens*, quasi in secreto, postea in medium proferendam.

17. ὅτι] Hoc primum de Israelitis judicium citat, quo, post Reuben alio crimine exclusum, Simeon etiam et Levi primogenitura exciderunt propter facinus crudele in Sichemitas perpetratum. Inde vero intelligi posse arbitratur qualem æquitatis disciplinam præceptor divinus patriarchis tradiderit.

VII. 4. Λόγος] Secundam SS. Trinitatis personam angeli nomine indicari vix dubitare poterit qui diligenter quædam Pentateuchi loca perpenderit, qualia sunt Gen. xvi. 10, 13. Ex. iii. 2, 6, 14. xxiii. 20, 21. xxxiii. 14. supr. cit.

καὶ νέα διαθήκη δεδώρηται, καὶ ὁ Λόγος γεγένηται, καὶ ὁ φόβος εἰς ἀγάπην μετατέτραπται, καὶ ὁ μυστικὸς ἐκεῖνος Deut. vi. 2. ἄγγελος Ἰησοῦς τίκτεται. Ὁ γὰρ αὐτὸς οὗτος παιδαγωγὸς, τότε μὲν "φοβηθήσῃ Κύριον τὸν Θεὸν" ἔλεγεν, ἡμῖν δὲ Matt. xxii. 37. "ἀγαπήσεις Κύριον τὸν Θεόν σου" παρῄνεσεν. Διὰ τοῦτο καὶ ἐντέλλεται ἡμῖν, "παύσασθε ἀπὸ τῶν ἔργων ὑμῶν," τῶν παλαιῶν ἁμαρτιῶν, "μάθετε καλὸν ποιεῖν, ἔκκλινον ἀπὸ κακοῦ "καὶ ποίησον ἀγαθὸν, ἠγάπησας δικαιοσύνην, ἐμίσησας "ἀνομίαν." Αὕτη μοὺ ἡ νέα διαθήκη παλαιῷ κεχαραγμένη γράμματι. Οὐκ ἄρα ἡ νεότης τοῦ Λόγου ὀνειδιστέα, ἀλλὰ Jer. i. 7, 5. καὶ ἐν τῷ Ἱερεμίᾳ ὁ Κύριος λέγει, "μὴ λέγε ὅτι νεώτερός "εἰμι· πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε καὶ πρὸ "τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε." Ταῦτα δύναται πρὸς ἡμᾶς ἡ προφητεία αἰνίττεσθαι τοὺς πρὸ καταβολῆς κόσμου εἰς πίστιν ἐγνωσμένους Θεῷ, νυνὶ δὲ νηπίους διὰ τὴν ἔναγχος πεπληρωμένην βούλησιν τοῦ Θεοῦ, καθὸ εἰς κλῆσιν καὶ σωτηρίαν νεογνοὶ γεγόναμεν.

Ib. VIII. Διὸ καὶ ἐπιφέρει "προφήτην εἰς ἔθνη τέθεικά σε," προφητεῦσαι λέγων αὐτὸν δεῖν, μὴ ὄνειδος εἶναι δοκεῖν, τοῦ νεωτέρου τὴν προσηγορίαν τοῖς νηπίοις καλουμένοις. Ὁ δὲ νόμος χάρις ἐστὶ παλαιὰ διὰ Μωσέως ὑπὸ τοῦ Λόγου Joh. i. 17. δοθεῖσα. Διὸ καί φησιν ἡ γραφὴ, "ὁ νόμος διὰ Μωσέως "ἐδόθη," οὐχὶ ὑπὸ Μωσέως, ἀλλὰ ὑπὸ μὲν τοῦ Λόγου, διὰ Μωσέως δὲ τοῦ θεράποντος αὐτοῦ· διὸ καὶ πρόσκαιρος ἐγίνετο, "ἡ δὲ ἀΐδιος χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ "ἐγένετο." Ὁρᾶτε τὰς λέξεις τῆς γραφῆς· ἐπὶ μὲν τοῦ νόμου "ἐδόθη" φησὶ μόνον, "ἡ δὲ ἀλήθεια," χάρις οὖσα τοῦ

5. γεγένηται] *Natus est*, quod secundum carnem dicitur. Nempe secundum divinitatem ab æterno *genitus est*, non natus.

6. μυστικὸς] Ita scilicet per mysterium appellatus. Confer Mal. iii. 1. 1 Tim. iii. 16. 1 Cor. ii. 7, 10. x. 3, 4.

VIII. 4. χάρις] Cf. Rom. iii. 2. Gal. iii. 24. Neque enim parvum erat legem divinam habere, quæ non modo peccandi libertatem frænaret, verum etiam evangelii veritatem adumbraret.

8. ἀλήθεια] Scilicet universa nobis in Verbo Dei patefacta est veritas, ea vero præcipue cujus præcesserant figuræ. Unde etiam sæpius in N. T. ubi de lege et ritibus Judaicis sermo est, veritas figuræ opponitur. Qui enim figuram veritatis ita accipit, ut in ea penitus acquiescat, falsum tenet.

Πατρὸς, ἔργον ἐστὶ τοῦ Λόγου αἰώνιον, καὶ οὐκέτι δίδοσθαι λέγεται ἀλλὰ " διὰ Ἰησοῦ γίνεσθαι, οὗ χωρὶς ἐγένετο οὐδὲ " ἕν." Αὐτίκα γοῦν ὁ Μωσῆς τῷ τελείῳ προφητικῶς [Joh. i. 3.] παραχωρῶν παιδαγωγῷ, τῷ Λόγῳ, καὶ τὸ ὄνομα καὶ τὴν παιδαγωγίαν προθεσπίζει, καὶ τῷ λαῷ παρατίθεται τὸν παιδαγωγὸν, ἐντολὰς ὑπακοῆς ἐγχειρίσας· " προφήτην ὑμῖν [Deut. xviii. 15.] " ἀναστήσει," φησὶν, " ὁ Θεὸς ὡς ἐμὲ ἐκ τῶν ἀδελφῶν ὑμῶν," τὸν Ἰησοῦν τὸν τοῦ Ναυὴ αἰνιττόμενος διὰ τὸν Ἰησοῦν τὸν τοῦ Θεοῦ υἱόν· σκιαγραφία γὰρ ἦν τοῦ Κυρίου τὸ ὄνομα τὸ Ἰησοῦ προκηρυσσόμενον ἐν νόμῳ. Ἐπιφέρει γοῦν τὸ λυσιτελὲς [Ib.] τῷ λαῷ συμβουλεύων· " αὐτοῦ ἀκούσεσθε" λέγων, " καὶ ὁ ἄν- " θρωπος, ὃς ἂν μὴ ἀκούσῃ τοῦ προφήτου τούτου," τούτῳ ἀπειλεῖ.

IX. Τοιοῦτον ἡμῖν ὄνομα σωτηρίου προφητεύει παιδαγωγοῦ. Διὰ τοῦτο αὐτῷ ῥάβδον περιτίθησιν ἡ προφητεία, ῥάβδον παιδευτικὴν, ἀρχικὴν, κατεξουσιαστικὴν, ἵν' οὓς ὁ Λόγος ὁ πειθήνιος οὐκ ἰᾶται ἀπειλὴ ἰάσεται, οὓς δὲ ἡ ἀπειλὴ οὐκ ἰᾶται ῥάβδος ἰάσεται, οὓς δὲ ἡ ῥάβδος οὐκ ἰᾶται, τὸ πῦρ ἐπινέμεται. " ἐξελεύσεται," φησὶ, " ῥάβδος ἐκ τῆς ῥίζης [Is. xi. 1, 3.] " Ἰεσσαί." Ὅρα καὶ τὴν ἐπιμέλειαν καὶ τὴν σοφίαν καὶ τὴν δύναμιν τοῦ παιδαγωγοῦ· " οὐ κατὰ τὴν δόξαν," φησὶ, " κρινεῖ οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ " κρίσιν καὶ ἐλέγξει τοὺς ἁμαρτωλοὺς τῆς γῆς." Καὶ διὰ Δαβίδ· " Κύριος παιδεύων ἐπαίδευσέ με καὶ τῷ θανάτῳ οὐ [Ps. cxviii. 18.] " παρέδωκέ με·" τὸ γὰρ ὑπὸ Κυρίου παιδευθῆναι καὶ παιδαγωγηθῆναι θανάτου ἐστὶν ἀπαλλαγή. Καὶ διὰ τοῦ αὐτοῦ προφήτου φησὶν, " ἐν ῥάβδῳ σιδηρᾷ ποιμανεῖς αὐτούς." [Ps. ii. 9.] Ταύτῃ καὶ ὁ Ἀπόστολος κινηθεὶς ἐν τῇ πρὸς Κορινθίους, " Τί " θέλετε;" φησὶν, " ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ [1 Cor. iv. 21.] " πνεύματί τε πρᾳότητος;" ἀλλὰ καὶ " ῥάβδον δυνάμεως " ἐξαποστελεῖ Κύριος ἐκ Σιὼν," δι' ἄλλου προφήτου λέγει. [Ps. cx. 2.] Ἡ δὲ παιδαγωγικὴ αὕτη ἡ " ῥάβδος σοῦ καὶ ἡ βακτηρία σοῦ [Ps. xxiii. 4.] " παρεκάλεσάν με," εἶπέ τις ἕτερος. αὕτη τοῦ παιδαγωγοῦ ἡ δύναμις ἡ σεμνὴ, ἡ παρακλητικὴ, ἡ σωτήριος.

IX. 3. ἵν'] *Ita ut.* Notandus hujus vocis rarior usus cum indicativo, cujus tamen alia quædam exempla a Stephano citantur.

CAP. X.

Ὅτι ὁ αὐτὸς Θεὸς διὰ τοῦ αὐτοῦ Λόγου καὶ ἀπείργει τῶν ἁμαρτιῶν ἀπειλῶν, καὶ σώζει τὴν ἀνθρωπότητα παρακαλῶν.

I. Εἰ τοίνυν τὴν περὶ τὸ ἐπιστύφειν τὴν ἀνθρωπότητα οἰκονομίαν, ἀγαθὴν οὖσαν καὶ σωτήριον, ἀναγκαίως ὑπὸ τοῦ Λόγου παραλαμβανομένην ἐπεδείξαμεν πρός τε μετάνοιαν καὶ πρὸς τῶν ἁμαρτιῶν τὴν κώλυσιν εὔθετον γενομένην, ἑξῆς ἂν εἴη σκοπεῖν τὸ ἤπιον τοῦ Λόγου· δίκαιος γὰρ οὗτος ἀποδέδεικται, καὶ τὰς ἰδίας παρατίθεται γνώμας τὰς πρὸς σωτηρίαν παρακλητικάς, δι᾽ ὧν καὶ τὸ καλὸν καὶ τὸ συμφέρον πατρικῷ θελήματι γνωρίζειν ἡμῖν βούλεται. Σκόπει δὲ ταῦτα. Τὸ μὲν καλὸν τοῦ ἐγκωμιαστικοῦ, τὸ δὲ συμφέρον τοῦ συμβουλευτικοῦ· καὶ γὰρ οὖν τοῦ μὲν συμβουλευτικοῦ σχέσις τὸ προτρεπτικὸν καὶ ἀποτρεπτικὸν, τοῦ δὲ ἐγκωμιαστικοῦ ἐπαινετικόν τε καὶ ψεκτικὸν γίνεται. Πῶς γὰρ ἔχουσα ἡ διάνοια ἡ συμβουλευτικὴ προτρεπτικὴ γίνεται, καὶ πῶς ἔχουσα ἀποτρεπτική. Ὡσαύτως δὲ καὶ τὸ ἐγκωμιαστικὸν πῶς μὲν ἔχον ψεκτικὸν γίνεται, πῶς δὲ ἔχον ἐπαινετικόν. Περὶ ἃ καταγίνεται μάλιστα ὁ παιδαγωγὸς ὁ δίκαιος ὁ τοῦ ἡμετέρου συμφέροντος ἐστοχασμένος. Ἀλλὰ γὰρ τὸ μὲν ψεκτικὸν καὶ ἀποτρεπτικὸν εἶδος ὑποδέδεικται ἡμῖν ἤδη πρότερον, νῦν δὲ αὖ τὸ προτρεπτικὸν καὶ ἐπαινετικὸν μεταχειριστέον, καὶ καθάπερ ἐπὶ ζυγοῦ τὰς ἰσοστασίους ἀντισηκώσωμεν τοῦ δικαίου πλάστιγγας.

II. Τῇ μὲν οὖν ἐπὶ τὰ συμφέροντα προτροπῇ ὁ παιδαγωγὸς διὰ Σολομῶντος ὧδέ πως χρῆται· "ἐγὼ ὑμᾶς, ἄν- Prov. viii. 4, 6.
"θρωποι, παρακαλῶ, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων·
"ἐπακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ" καὶ τὰ ἑξῆς. Συμβουλεύει

X. 9. τὸ μὲν καλὸν] Conf. Aristot. Rhet. I. 3.

16. Περὶ ἃ] Scilicet in docendo 'quid sit pulchrum, quid turpe, quid utile, quid non,' maxime versari ait præceptorem divinum. Quærebant enim quodammodo gentes quæ nobis Deus revelavit.

18. πρότερον] Scil. in Protreptico ad Græcos, ubi eos cohortatur ad idololatriam relinquendam.

II. 1. ὁ παιδαγωγὸς] Qui etiam Sapientia appellatur.

δὲ τὰ σωτήρια, ὅτι ἡ συμβουλὴ πρὸς αἵρεσίν ἐστι καὶ φυγὴν ἐπιτήδειος. Καθάπερ ποιεῖ διὰ τοῦ Δαβὶδ λέγων, "μακά- Ps. i. 1, 2. "ριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ "ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν, "ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ." Τῆς δὲ συμβουλίας μέρη τρία, τὸ μὲν ἐκ τῶν παρεληλυθότων χρόνων λαμβάνον τὰ παραδείγματα, οἷον τί ἔπαθον οἱ Ἑβραῖοι τῷ χρυσῷ εἰδωλολατρήσαντες ἐν μόσχῳ, καὶ τί ἔπαθον ἐκπορνεύσαντες, καὶ τὰ ὅμοια· τὸ δὲ ἐκ τῶν παρόντων χρόνων κατανοούμενον, οἷον αἰσθητικῶς καταλαμβανόμενον, ὡς ἐκεῖνο εἴρηται πρὸς τοὺς ἐρομένους τὸν Κύριον, εἰ αὐτὸς εἴη ὁ Χριστὸς ἢ ἄλλον περιμένομεν, "ἀπέλθετε καὶ εἴπατε Ἰωάννῃ, Matt. xi. 3—6. "τυφλοὶ ἀναβλέπουσι, κωφοὶ ἀκούουσι, λεπροὶ καθαρίζονται, "ἀνίστανται νεκροὶ, καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ "ἐν ἐμοί." Τοῦτ' ἄρα ἦν ὃ προφητεύων εἴρηκε Δαβίδ, Ps. xlviii. 8. "καθὼς ἠκούσαμεν, οὕτως καὶ εἴδομεν."

III. Ἐκ δὲ τῶν μελλόντων τὸ τρίτον συνίσταται μέρος τῆς συμβουλίας, ᾧ τὰ ἀποβησόμενα κελεύει φυλάττεσθαι, καθὸ κἀκεῖνο εἴρηται· οἱ δὲ ἁμαρτίαις περιπεσόντες βληθή- Matt. xxii. 13. xxv. 30. σονται "εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς "καὶ ὁ βρυγμὸς τῶν ὀδόντων" καὶ τὰ παραπλήσια. Ὡς ἐκ τούτων εἶναι συμφανὲς διὰ πάσης θεραπείας χωροῦντα τὸν Κύριον εἰς σωτηρίαν ἐκκαλεῖσθαι τὴν ἀνθρωπότητα. Τῇ δὲ παραμυθίᾳ παρηγορεῖ τὰ ἁμαρτήματα, μειῶν μὲν τὴν ἐπιθυμίαν, ἅμα δὲ καὶ ἐλπίδα ἐνδιδοὺς εἰς σωτηρίαν. Φησὶ γὰρ διὰ Ἰεζεκιήλ, "ἐὰν ἐπιστραφῆτε ἐξ ὅλης τῆς καρδίας καὶ "εἴπητε, Πάτερ, ἀκούσομαι ὑμῶν, ὥσπερ λαοῦ ἁγίου." καὶ πάλιν λέγει, "δεῦτε πάντες πρός με οἱ κοπιῶντες καὶ πεφορ- Matt. xi. 28. "τισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς," καὶ τὰ ἐπὶ τούτοις αὐτοπροσωπεῖ ὁ Κύριος. Σαφέστατα δὲ ἐπὶ τὴν ἀγαθωσύνην καλεῖ διὰ Σολομῶντος λέγων· "μακάριος ἄνθρωπος ὃς εὗρε Prov. iii. 13.

III. 8. παραμυθίᾳ] Lenitate quadam demulcendo, cum non modo peccatori minas intendat, sed resipiscendi quoque locum præbeat.

10. ἐὰν] Hæc apud Ezechielem non leguntur, similia quædam habes c. xviii. et c. xxxiii.

13. αὐτοπροσωπεῖ] *Ipse in sua persona et hæc profert et quæ statim sequuntur.*

“σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν·” “τὸ γὰρ ἀγαθὸν τῷ
“ζητοῦντι εὑρίσκεται, καὶ ὁρᾶσθαι τῷ εὑρόντι φιλεῖ.” Ναὶ
μὴν καὶ διὰ Ἱερεμίου τὴν φρόνησιν ἐξηγεῖται, “μακάριοί
Baruch. iv. 4. “ἐσμεν Ἰσραὴλ,” λέγων, “ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ γνωστὰ
“ἡμῖν ἐστι,” γνωστὰ δὲ διὰ τοῦ Λόγου, δι’ ὃν μακάριοι καὶ
φρόνιμοι. Φρόνησις γὰρ καὶ ἡ γνῶσις διὰ τοῦ αὐτοῦ προ-
Ib. iii. 9. φήτου μηνύεται λέγοντος, “ἄκουε, Ἰσραὴλ, ἐντολὰς ζωῆς,
ἐνωτίσασθε γνῶναι φρόνησιν.” Διὰ δὲ Μωσέως ἔτι καὶ
προσυπισχνεῖται δωρεὰν διὰ τὴν ὑπάρχουσαν φιλανθρωπίαν
Deut. xxxi. 20. τοῖς σπεύδουσιν εἰς σωτηρίαν. Φησὶ γάρ, “καὶ εἰσάξω ὑμᾶς
“εἰς τὴν γῆν τὴν ἀγαθὴν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν
Is. lvi. 7. “ὑμῶν,” πρὸς δὲ, “καὶ εἰσάξω ὑμᾶς εἰς τὸ ὄρος τὸ ἅγιον,
“καὶ εὐφρανῶ ὑμᾶς,” διὰ Ἡσαΐου λέγει.

IV. Ἔτι δὲ καὶ ἄλλο εἶδος αὐτοῦ παιδαγωγίας ὁ μακα-
Ps. i. 1—3. ρισμὸς, καὶ, “μακάριος ἐκεῖνος,” διὰ Δαβὶδ λέγει, “ὁ μὴ
“ἁμαρτὼν, καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ
“τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν
“καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται”—
ταυτὶ μὲν καὶ πρὸς τὴν ἀνάστασιν ᾐνίξατο—“καὶ πάντα ὅσα
“ἂν ποιήσῃ, κατευοδωθήσεται αὐτῷ,” τοιούτους ἡμᾶς γεγονέναι
βούλεται, ἵνα ὦμεν μακάριοι. Ἔμπαλιν δὲ τὸ ἀντισοῦν
Ib. v. 4. τοῦ τῆς δικαιοσύνης ἐνδεικνύμενος ζυγοῦ· “οὐχ οὕτως,” φησὶν,
“οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ’ ἢ ὡς ὁ χνοῦς, ὃν ἐκρίπτει ὁ
“ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.” Τὸ ἐμιτίμιον τῶν ἁμαρ-
τωλῶν καὶ τὸ εὐδιαφόρητον αὐτῶν καὶ τὸ ὑπηνέμιον δείξας ὁ
παιδαγωγὸς ἀπετρέψατο τῆς αἰτίας διὰ τῆς ἐπιτιμίας, καὶ
τὴν κόλασιν ἐπανατεινάμενος τὴν κατ’ ἀξίαν τῆς εὐεργεσίας
ἐνεδείξατο τὴν εὐποιίαν, τεχνικώτατα ἐπὶ τὴν χρῆσιν ἡμᾶς
καὶ τὴν κτῆσιν τῶν καλῶν διὰ ταύτης καλῶν. Ναὶ μὴν καὶ
Baruch. iii. 13. ἐπὶ τὴν γνῶσιν παρακαλεῖ διὰ μὲν τοῦ Ἱερεμίου λέγων, “τῇ
“ὁδῷ τοῦ Θεοῦ εἰ ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ εἰς τὸν

16. τὸ γὰρ] Horum verborum sensus occurrit Prov. ii. 4, 5. iii. 15. Hierem. ii. 24, &c. Potter.

IV. 1. μακαρισμὸς] Scil. quo beatos pronuntiat justos. In hoc enim poterat fides eorum acquiescere, donec certius compertum haberent quid vellet ista Dei benedictio.

2. ὁ μὴ ἁμαρτὼν] Plura in una voce summatim comprehendit.

13. τῆς αἰτίας] *A culpa.*

“ αἰῶνα.” Ὑποδεικνύων γὰρ ἐνταῦθα τὸν μισθὸν τῆς γνώσεως εἰς ἔρωτα αὐτῆς τοὺς συνετοὺς ἐκκαλεῖται, καὶ τῷ πεπλανημένῳ συγγνώμην νέμων· “ ἐπίστρεφε γὰρ, ἐπίστρεφε, Jer. vi. 9. “ ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλον αὐτοῦ” λέγει. Ὁρᾷς τὸ ἀγαθὸν τῆς δικαιοσύνης μετανοεῖν συμβουλευούσης;

V. Ἔτι δὲ διὰ Ἱερεμίου φωτίζει τοῖς πλανωμένοις τὴν ἀλήθειαν· “ Τάδε λέγει Κύριος, στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ Ib. 16. “ ἴδετε καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίας, ποία ἐστὶν ἡ “ τρίβος ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγ- “ νισμὸν ταῖς ψυχαῖς ὑμῶν.” Ἄγει δὲ ἐπὶ τὴν μετάνοιαν σωτηρίας χάριν τῆς ἡμῶν. Διὰ τοῦτό φησιν, ἐὰν μετα- Deut. xxx. 6. νοήσῃς, “ περικαθαριεῖ Κύριος τὴν καρδίαν σοῦ καὶ τὴν καρ- “ δίαν τοῦ σπέρματός σου.” Ἐνῆν μὲν οὖν συνηγόρους ἡμῖν τῆς ζητήσεως ταύτης ἐπισπάσασθαι φιλοσόφους, οἵ φασιν ἐπαινετὸν εἶναι μόνον τὸν τέλειον, ψεκτὸν δὲ τὸν φαῦλον τυγχάνειν. Ἀλλ' ἐπεὶ συκοφαντοῦσί τινες τὸ μακάριον, ὡς πρᾶγμα οὐκ ἔχον οὔτε αὐτὸ οὔτε ἄλλῳ τῳ παρεχόμενον, τὴν φιλανθρωπίαν ἀσυνετοῦντες αὐτοῦ, διὰ τούτους δὴ καὶ τοὺς ἔτι τὸ δίκαιον οὐ προσάπτοντας τῷ ἀγαθῷ, ὅδε ὁ λόγος ἡμῖν παρετέθη. Ἑπόμενον γὰρ ἦν φάσκειν ἡμᾶς τὸ ἐπιπληκτικὸν καὶ ψεκτικὸν εἶδος τῆς παιδαγωγίας ἁρμόδιον εἶναι τοῖς ἀνθρώποις, ἐπεὶ πάντας ἀνθρώπους φαύλους λέγουσι· σοφὸς δὲ ὁ Θεὸς μόνος, ἀφ' οὗ ἡ σοφία, καὶ τέλειος μόνος, διὰ τοῦτο καὶ μόνος ἐπαινετός.

VI. Ἀλλὰ οὐ συγχρῶμαι τῷ λόγῳ τῷδε. Φημὶ δ' οὖν ἔπαινον ἢ ψόγον ἢ ἐπαίνῳ τι ἐοικὸς καὶ ψόγῳ μάλιστα πάντων τοῖς ἀνθρώποις ἀναγκαιότατα φάρμακα. Οἱ μὲν οὖν δυσίατοι, καθάπερ ὁ σίδηρος πρὸς τοῦ πυρὸς καὶ σφύρας καὶ ἄκμονος, τουτέστιν ἀπειλῆς, ἐλέγχου, ἐπιτιμήσεως, ἐλαύνονται, οἱ δὲ αὐτοὶ προσέχοντες τῇ πίστει οἷον αὐτοδίδακτοι καὶ προαιρετικοὶ αὔξονται τῷ ἐπαίνῳ·

V. 12. τὸ μακάριον] Citat Potterus Cic. de Nat. Deor. L. i. ‘Vere exposita est illa sententia ab Epicuro: Quod æternum beatumque sit, id nec habere ipsum negotii quidquam, nec exhibere alteri.’ Verba sunt Epicurei disputantis.

15. ὅδε ὁ λόγος] Oratio invectiva, quam ipsam vult esse quodammodo Mentis Divinæ indicativam, naturæ autem humanæ secundum imaginem divinam formativam.

" Ἀρετὰ γὰρ ἐπαινεομένα
" δένδρον ὣς ἀέξεται."

Καί μοι δοκεῖ, συνεὶς τοῦτο ὁ Σάμιος παραγγέλλει Πυθαγόρας,

" Δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ τέρπου."

Τὸ δὲ ἐπιπλήσσειν καὶ νουθετεῖν καλεῖται, τὸ δὲ ἐτυμολογεῖται, ἡ νουθέτησις, νοῦ ἐνθεματισμὸς, ὡς εἶναι τὸ ἐπιπληκτικὸν εἶδος νοῦ περιποιητικόν. Ἀλλὰ γὰρ μυρίαι ὅσαι προσεξεύρηνται παραγγελίαι εἰς κτῆσιν ἀγαθῶν καὶ φυγὴν κακῶν·
Is. xlviii. 22. lvii. 21. " τοῖς γὰρ ἀσεβέσιν οὐκ ἔστιν εἰρήνη, λέγει Κύριος." διὰ τοῦτο φυλάττεσθαι τοῖς νηπίοις διὰ Σολομῶντος παραγ-
Prov. i. 10—12. γέλλει· " υἱὲ, μὴ πλανήσωσί σε οἱ ἁμαρτωλοὶ μηδὲ πορευθῇς " μετ' αὐτῶν ὁδοὺς, μηδὲ πορευθῇς ἐὰν παρακαλέσωσί σε λέγοντες, ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος ἀθῴου, κρύψωμεν " δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, ἀφανίσωμεν αὐτὸν ὥσπερ " Ἅιδης ζῶντα."

VII. Τοῦτο μὲν οὖν καὶ περὶ τοῦ κυριακοῦ προφητεύεται πάθους, ὑποτίθεται δὲ καὶ διὰ Ἰεζεκιὴλ ἡ ζωὴ τὰς ἐντολάς·
Ezech. xviii. 4—9. " Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθανεῖται, ὁ δὲ ἄνθρωπος " ἔσται δίκαιος, ὁ ποιῶν τὴν δικαιοσύνην, οὐκ ἐπὶ τῶν ὀρέων " φάγεται, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο ἐπὶ τὰ ἐνθυμήματα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον " αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν οὐκ " ἐγγιεῖ, καὶ ἄνθρωπον οὐ καταδυναστεύσει, καὶ ἐνεχυρασμὸν " ὀφείλοντος ἀποδώσει, καὶ ἅρπαγμα οὐχ ἁρπάσει, τὸν ἄρτον " αὐτοῦ τῷ πεινῶντι δώσει καὶ γυμνὸν περιβαλεῖ, τὸ ἀργύριον " αὐτοῦ ἐπὶ τόκῳ οὐ δώσει καὶ πλεόνασμα οὐ λήψεται, καὶ " ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, καὶ κρίμα δίκαιον " ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίον " αὐτοῦ, ἐν τοῖς προστάγμασί μου πεπόρευται καὶ τὰ δικαιώματά μου πεφύλακται τοῦ ποιῆσαι αὐτά. δίκαιος οὗτός " ἐστι, ζωῇ ζήσεται, λέγει Κύριος." Ταῦτα ὑποτύπωσιν Χριστιανῶν περιέχει πολιτείας καὶ προτροπὴν ἀξιόλογον εἰς μακάριον γέρας εὐζωΐας, ζωὴν αἰώνιον.

8. Ἀρετὰ] Confert Potterus Pind. Nem. viii. 68.

VII. 2. ἡ ζωὴ] Præcipit ipse qui vita est obedientium.

CAP. XI.

Ὅτι διὰ Νόμου καὶ προφητῶν ὁ Λόγος ἐπαιδαγώγει.

I. Ὁ μὲν δὴ τρόπος τῆς φιλανθρωπίας αὐτοῦ καὶ πα-γωγίας ὡς ἐνῆν ἡμῖν ὑποδέδεικται. διόπερ παγκάλως αὐτὸς αὐτὸν ἐξηγούμενος "κόκκῳ νάπυος" εἴκασεν· καὶ τοῦ σπειρο- Matt. xiii. 31. μένου λόγου τὸ πνευματικὸν καὶ τὸ πολύχουν τῆς φύσεως Luc. xiii. 19. καὶ τὸ μεγαλοπρεπὲς ἅμα καὶ εὐαγὲς τῆς δυνάμεως τῆς λογικῆς, πρὸς δὲ καὶ τῆς ἐπιτιμήσεως τὸ δηκτικὸν καὶ τὸ ἀνακαθαρτικὸν ὀνησιφόρον εἶναι ὑπὸ δριμύτητος αἰνιττόμενος. Δι' ὀλίγου γοῦν τοῦ κόκκου τοῦ ἀλληγορουμένου πάμπολυ τὴν σωτηρίαν ἁπάσῃ χαρίζεται τῇ ἀνθρωπότητι. Τὸ μὲν οὖν μέλι γλυκύτατον ὂν χολῆς ἐστὶ γεννητικὸν, ὡς τὸ ἀγαθὸν καταφρονήσεως, ὃ δὴ αἴτιον τοῦ ἐξαμαρτάνειν, τὸ δὲ νάπυ καὶ τῆς χολῆς ἐστὶ μειωτικὸν, τουτέστι τοῦ θυμοῦ, καὶ τοῦ φλέγματος διακοπτικὸν, τουτέστι τοῦ τύφου, ἐξ οὗ λόγου ἡ ἀληθὴς τῆς ψυχῆς ὑγεία καὶ ἡ ἀΐδιος εὐκρασία περιγίνεται. Πάλαι μὲν οὖν διὰ Μωσέως ὁ Λόγος ἐπαιδαγώγει, ἔπειτα δὲ καὶ διὰ προφητῶν, προφήτης δὲ καὶ ὁ Μωσῆς· ὁ γὰρ νόμος παιδαγωγία παίδων ἐστὶ δυσηνίων. "Χορτασθέντες Exod. xxxii. 6. "γοῦν," φησὶν, "ἀνέστησαν παίζειν," τὸ ἄλογον τῆς τροφῆς πλήρωμα χόρτασμα, οὐ βρῶμα εἰπών.

II. Ἐπεὶ δὲ ἀλόγως κορεσθέντες ἀλόγως ἔπαιζον, διὰ τοῦτο αὐτοῖς καὶ ὁ νόμος καὶ ὁ φόβος εἵπετο εἰς ἀνακοπὴν ἁμαρτημάτων καὶ προτροπὴν κατορθωμάτων, καταρτίζων εὐηκοΐαν εἰς τοὺς τοῦ ἀληθοῦς παιδαγωγοῦ, τὴν εὐπείθειαν, εἷς καὶ ὁ αὐτὸς ὢν Λόγος πρὸς τὸ κατεπεῖγον ἁρμοττόμενος, τὸν νόμον δοθῆναι γάρ φησιν ὁ Παῦλος "παιδαγωγὸν εἰς Χριστόν." Gal. iii. 24. Ὡς ἐκ τούτου συμφανὲς εἶναι ἕνα μόνον ἀληθινὸν, ἀγαθὸν, δίκαιον, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Πατρὸς Υἱὸν Ἰησοῦν, τὸν Λόγον τοῦ Θεοῦ, παιδαγωγὸν ἡμῶν εἶναι, ᾧ παρέδωκεν ἡμᾶς ὁ Θεὸς, ὡς πατὴρ φιλόστοργος γνησίῳ παιδαγωγῷ παρακατατιθέμενος τὰ παιδία, διαρρήδην παραγγείλας ἡμῖν,

II. 4. τοὺς τοῦ ἀλ] Scil. discipulos, ni fallor, constructione adhibita qualem habes Eph. ii. 15.

Matt. xvii. 5. "Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε." Ἀξιόπιστος ὁ Θεῖος παιδαγωγὸς τρισὶ τοῖς καλλίστοις κεκοσμημένος, ἐπιστήμῃ, εὐνοίᾳ, παρρησίᾳ. Ἐπιστήμῃ μὲν ὅτι Σοφία ἐστὶ πατρική—πᾶσα σοφία παρὰ Κυρίου καὶ μετ' αὐτοῦ ἐστὶν εἰς τὸν αἰῶνα,—παρρησίᾳ δὲ ὅτι Θεὸς καὶ
Joh. i. 3. δημιουργός—"Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ "ἐγένετο οὐδὲ ἕν,"—εὐνοίᾳ δὲ ὅτι μόνος ὑπὲρ ἡμῶν ἱερεῖον
Ib. x. 11. ἑαυτὸν ἐπιδέδωκεν· "ὁ γὰρ ἀγαθὸς ποιμὴν τὴν ψυχὴν "ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων," καὶ δὴ ἔθηκεν. Εὔνοια δὲ οὐδὲν ἀλλ' ἢ βούλησίς ἐστιν ἀγαθοῦ τοῦ πλησίον αὐτοῦ χάριν ἐκείνου.

CAP. XII.

Ὅτι ἀναλόγως τῇ πατρικῇ διαθέσει κέχρηται ὁ παιδαγωγὸς αὐστηρίᾳ καὶ χρηστότητι.

I. Τούτων ἤδη προδιηνυσμένων ἑπόμενον ἂν εἴη τὸν παιδαγωγὸν ἡμῶν Ἰησοῦν τὸν βίον ἡμῖν τὸν ἀληθινὸν ὑποτυπώσασθαι καὶ τὸν ἐν Χριστῷ παιδαγωγῆσαι ἄνθρωπον. Ἔστι δὲ ὁ χαρακτηρισμὸς οὐ φοβερὸς ἄγαν αὐτοῦ οὐδὲ ἔκλυτος κομιδῇ ὑπὸ χρηστότητος. Ἐντέλλεται δὲ ἅμα καὶ χαρακτηρίζεται τὰς ἐντολὰς, αὐτὰς ἐκτελεῖν δύνασθαι. Καί μοι δοκεῖ αὐτὸς οὗτος πλάσαι μὲν τὸν ἄνθρωπον ἐκ χοὸς, ἀναγεννῆσαι δὲ ὕδατι, αὐξῆσαι δὲ πνεύματι, παιδαγωγῆσαι δὲ ῥήματι εἰς υἱοθεσίαν καὶ σωτηρίαν ἁγίαις ἐντολαῖς κατευθύνων, ἵνα δὴ τὸν γηγενῆ εἰς ἅγιον καὶ ἐπουράνιον μεταπλάσας ἐκ προσβάσεως ἄνθρωπον, ἐκείνην τὴν θεϊκὴν μάλιστα πλη-
Gen. i. 26. ρώσῃ φωνήν· "ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμῶν." Καὶ δὴ γέγονεν ὁ Χριστὸς τοῦτο πλῆρες,

15. Σοφία ἐστὶ πατρική] Ne hoc intelligas quasi qualitas Patris esset Filius, vel ut scholastice dicitur 'sapientia qua sapiens est Pater,' vide Pet. Lombard. Sent. Lib. i. Dist. 32. 'Ergo Pater ipsa sapientia est, qua sapiens est. Filius vero dicitur sapientia Patris et virtus Patris: non quia Pater per eum sit sapiens vel potens, sed quia Filius sapientia et virtus est de Patre sapientia et virtute.'

ib. πᾶσα] Similia habes Prov. ii. 6. sed verba hæc invenire nondum potui. Potter.

I. 5. χαρακτηρίζεται] Difficilior est constructio, sed videtur subintelligi ὡς, ut sensus sit 'eum characterem mandatis imprimit per quem fiat ut ea homines possint perficere.'

11. ἐκ προσβάσεως] *Accedendo.*

ὅπερ εἴρηκεν ὁ Θεὸς, ὁ δὲ ἄλλος ἄνθρωπος κατὰ μόνην νοεῖται τὴν εἰκόνα. Ἡμεῖς δὲ, ὦ παῖδες ἀγαθοῦ Πατρὸς, ἀγαθοῦ παιδαγωγοῦ θρέμματα, πληρώσωμεν τὸ θέλημα τοῦ Πατρὸς, ἀκούωμεν τοῦ Λόγου καὶ τὸν σωτήριον ὄντως ἀναμαξώμεθα τοῦ σωτῆρος ἡμῶν βίον· ἐνθένδε ἤδη τὴν ἐπουράνιον μελετῶντες πολιτείαν, καθ' ἣν ἐκθεούμενοι τὸ ἀειθαλὲς εὐφροσύνης ἀκήρατον εὐωδίας ἐπαλειφώμεθα χρίσμα, ἐναργὲς ὑπόδειγμα ἀφθαρσίας τὴν πολιτείαν ἔχοντες τοῦ Κυρίου καὶ τὰ ἴχνη τοῦ Θεοῦ διώκοντες, ᾧ μόνῳ προσήκει σκοπεῖν καὶ δὴ μέλει πῶς καὶ τίνα τρόπον ὑγιεινότερος ἂν ὁ τῶν ἀνθρώπων βίος γένοιτο. Ἀλλὰ καὶ πρὸς αὐτάρκειαν τοῦ βίου καὶ ἀπεριττότητα, ἔτι τε εὔζωνόν τε καὶ εὔλυτον ὁδοιπορικὴν ἑτοιμότητα, εἰς ἀϊδιότητα εὐζωΐας παρασκευάζει, αὐτὸν αὑτοῦ ἕκαστον ἡμῶν ταμιεῖον εἶναι διδάσκων· "Μὴ γὰρ μεριμνᾶτε," φησὶ, "περὶ τῆς Matt. vi.
"αὔριον," χρῆναι λέγων τὸν ἀπογεγραμμένον Χριστῷ 34.
αὐτάρκη καὶ αὐτοδιάκονον καὶ προσέτι ἐφήμερον ἐπαναιρεῖσθαι βίον. Οὐ γὰρ ἐν πολέμῳ ἀλλ' ἐν εἰρήνῃ παιδαγωγούμεθα.

II. Πολέμῳ μὲν οὖν πολλῆς δεῖ τῆς παρασκευῆς, δαψιλείας τε χρῄζει ἡ τρυφὴ, εἰρήνη δὲ καὶ ἀγάπη ἀφελεῖς καὶ ἀπράγμονες ἀδελφαὶ οὐχ ὅπλων δέονται, οὐ παρασκευῆς ἀσώτου, Λόγος ἐστὶν αὐταῖς ἡ τροφή. Ὁ δὲ τὴν ἐνδεικτικὴν καὶ παιδευτικὴν ἡγεμονίαν κεκληρωμένος Λόγος, παρ' οὗ τὸ εὐτελές τε καὶ ἄτυφον καὶ τὸ ὅλον φιλελεύθερον καὶ φιλάνθρωπον φιλόκαλόν τε ἐκμανθάνομεν, τοῦτον, εἰ καὶ ἐνὶ λόγῳ μετ' οἰκειότητος ἀρετῆς ἐξομοιούμενοι τῷ Θεῷ, οὐκ εἰς ἐκμέλειαν καὶ ῥᾳθυμίαν μεταχωρεῖν δεῖ, ἀλλ' ἐκπόνει καὶ μὴ ἀπόκαμνε· ἔσῃ γὰρ οἷος οὐκ ἐλπίζεις οὐδ' εἰκάσαι δύναιο ἄν. Ὡς δὲ ἔστι τις ἄλλη μὲν φιλοσόφων ἀγωγὴ, ἄλλη δὲ ῥητόρων, παλαιστῶν δὲ ἄλλη, οὕτως ἐστὶ γενναία διάθεσις φιλοκάλῳ προαιρέσει κατάλληλος ἐκ τῆς Χριστοῦ παιδαγωγίας περιγενομένη, καὶ τὰ τῆς ἐνεργείας πεπαιδευμέναι σεμναὶ διαπρέπουσι, πορεία τε καὶ κατάκλισις καὶ

20. χρίσμα] Notant respici chrisma in Baptismo adhibitum.

II. 4. ἀσώτου] *Sumptuosæ.*

τροφὴ καὶ ὕπνος καὶ κοίτη καὶ δίαιτα καὶ ἡ λοιπὴ παιδεία· οὐ γὰρ ὑπέρτονος ἡ τοιάδε ἀγωγὴ τοῦ Λόγου, ἀλλ' εὔτονος.

III. Ταύτῃ οὖν καὶ Σωτὴρ ὁ Λόγος κέκληται, ὁ τὰ λογικὰ ταῦτα ἐξευρὼν ἀνθρώποις εἰς εὐαισθησίαν καὶ σωτηρίαν φάρμακα, ἐπιτηρῶν μὲν τὴν εὐκαιρίαν ἐλέγχων δὲ τὴν βλάβην, καὶ τὰς αἰτίας τῶν παθῶν διηγούμενος καὶ τὰς ῥίζας τῶν ἀλόγων ἐπικόπτων ἐπιθυμιῶν, παραγγέλλων μὲν ὧν ἀπέχεσθαι δεῖ τὰς ἀντιδότους δὲ ἁπάσας τῆς σωτηρίας τοῖς νοσοῦσι προσφέρων· τοῦτο γὰρ τὸ μέγιστον καὶ βασιλικώτατον ἔργον τοῦ Θεοῦ σώζειν τὴν ἀνθρωπότητα. Τῷ μὲν οὖν ἰατρῷ οὐδὲ πρὸς ὑγείαν συμβουλεύοντι ἄχθονται οἱ κάμνοντες, τῷ δὲ παιδαγωγῷ τῷ θείῳ πῶς οὐκ ἂν ὁμολογήσαιμεν τὴν μεγίστην χάριν μὴ σιωπῶντι μηδὲ παρενθυμουμένῳ τὰς εἰς ἀπώλειαν φερούσας ἀπειλὰς, ἀλλὰ καὶ ταύτας διελέγχοντι καὶ τὰς ὁρμὰς τὰς εἰς αὐτὰς διατεινούσας ἀνακόπτοντι καὶ τὰς καθηκούσας πρὸς τὴν ὀρθὴν πολιτείαν ὑποθημοσύνας ἐκδιδάσκοντι; Πλείστην ἄρα ὁμολογητέον χάριν αὐτῷ. Τὸ γάρτοι ζῶον τὸ λογικὸν, τὸν ἄνθρωπον λέγω, ἄλλο τι φαμὲν ἢ θεάσασθαι τὸ θεῖον δεῖν; θεάσασθαι δὲ καὶ τὴν ἀνθρωπίνην φύσιν φημὶ χρῆναι, ζῇν τε ὡς ὑφηγεῖται ἡ ἀλήθεια, ἀγαμένους ὑπερφυῶς τόν τε παιδαγωγὸν αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ, ὡς πρέποντα ἀλλήλοις ἐστὶ καὶ ἁρμόττοντα, καθ' ἣν εἰκόνα καὶ ἡμᾶς ἁρμοσαμένους χρὴ σφᾶς αὐτοὺς πρὸς τὸν παιδαγωγὸν σύμφωνον τὸν λόγον ποιησαμένους τοῖς ἔργοις τῷ ὄντι ζῇν.

CAP. XIII.

Ὅτι ὡς τὸ κατόρθωμα κατὰ τὸν ὀρθὸν γίνεται λόγον, οὕτως ἔμπαλιν τὸ ἁμάρτημα παρὰ τὸν λόγον.

I. Πᾶν τὸ παρὰ τὸν λόγον τὸν ὀρθὸν τοῦτο ἁμάρτημά

22. λόγον] Rationem scilicet nostram ipsorum. Nempe c. xiii. disserit de recta et prava ratione; rationem vero divinam non nisi rectam, atque ipsius rectitudinis normam, intelligere possumus. Itaque rationi divinæ nunquam affigitur rectitudinis ἐπιθετὸν, sicut neque verbum Dei verum appellamus, sed veritatem.

C. XIII. Tit. κατόρθωμα] Plura hic disserit Potterus de philosophorum placitis, quem videat qui ejusmodi studiis vacat. Hic vero auctorem stoico more loqui animadvertit.

ἐστιν. Αὐτίκα γοῦν τὰ πάθη τὰ γενικώτατα ὧδέ πως ὁρίζεσθαι ἀξιοῦσιν οἱ φιλόσοφοι, τὴν μὲν ἐπιθυμίαν ὄρεξιν ἀπειθῆ λόγῳ, τὸν δὲ φόβον ἔκλυσιν ἀπειθῆ λόγῳ, ἡδονὴν δὲ ἔπαρσιν ψυχῆς ἀπειθῆ λόγῳ. Εἰ τοίνυν ἡ πρὸς τὸν Λόγον ἀπείθεια ἁμαρτίας ἐστὶ γεννητική, πῶς οὐχὶ ἐξ ἀνάγκης ἡ τοῦ Λόγου ὑπακοή, ἣν δὴ πίστιν φαμέν, τοῦ καλουμένου καθήκοντος ἔσται περιποιητική; Καὶ γὰρ ἡ ἀρετὴ αὐτὴ διάθεσίς ἐστι ψυχῆς σύμφωνος ὑπὸ τοῦ Λόγου περὶ ὅλον τὸν βίον. Ναὶ μὴν τὸ κορυφαιότατον αὐτὴν φιλοσοφίαν ἐπιτήδευσιν λόγου ὀρθότητος ἀποδιδόασιν. Ὡς ἐξ ἀνάγκης εἶναι τὸ πλημμελούμενον πᾶν διὰ τὴν τοῦ λόγου διαμαρτίαν γινόμενον, καὶ εἰκότως καλεῖσθαι ἁμάρτημα. Αὐτίκα γοῦν ὅτε ἥμαρτεν ὁ πρῶτος ἄνθρωπος καὶ παρήκουσε τοῦ Θεοῦ· "καὶ παρω- Ps. xlix. 12,
"μοιώθη," φησί, "τοῖς κτήνεσιν ὁ ἄνθρωπος" παρὰ τὸν 20.
Λόγον ἐξαμαρτών, εἰκότως ἄλογος νομισθεὶς εἰκάζεται κτήνεσιν.

II. Ἐντεῦθεν καὶ ἡ σοφία λέγει· "Ἵππος εἰς ὀχείαν ὁ Ecclus.
φιλήδονος καὶ μοιχὸς ἀλογίστῳ κτήνει παρομοιωθείς," διὸ xxxiii. 6.
καὶ ἐπιφέρει, "παντὸς ὑποκάτω ἐπικαθημένου χρεμετίζει" οὐκέτι, φησί, λαλεῖ ὁ ἄνθρωπος· οὐ γάρ ἐστι λογικὸς ἔτι ὁ παρὰ λόγον ἁμαρτάνων, θηρίον δὲ δὴ ἄλογον, ἔκδοτον ἐπιθυμίαις, ᾧ πᾶσαι ἐπικάθηνται ἡδοναί. Τὸ δὲ κατορθούμενον κατὰ τὴν τοῦ λόγου ὑπακοὴν προσῆκον καὶ καθῆκον Στωϊκῶν ὀνομάζουσι παῖδες· τὸ μὲν οὖν καθῆκον προσῆκόν ἐστιν, ὑπακοὴ δὲ θεμελιοῦται ἐντολαῖς· αὗται δὲ ταῖς ὑποθήκαις αἱ αὐταὶ οὖσαι τὴν ἀλήθειαν ἔχουσαι σκοπόν, ἐπὶ τὸ ἔσχατον ὀρεκτόν, ὃ τέλος νοεῖται, παιδαγωγοῦσι, τέλος δέ ἐστι θεοσεβείας ἡ ἀΐδιος ἀνάπαυσις ἐν τῷ Θεῷ, τοῦ δὲ αἰῶνός ἐστιν ἀρχὴ τὸ ἡμέτερον τέλος. Τὸ μέντοι τῆς θεοσεβείας κατόρθωμα δι' ἔργων τὸ καθῆκον ἐκτελεῖ· ὅθεν εἰκότως τὰ καθήκοντα περὶ τὰς πράξεις, οὐ τὰς λέξεις, συνίστανται· καὶ ἔστιν ἡ μὲν πρᾶξις ἡ τοῦ Χριστιανοῦ ψυχῆς ἐνέργεια λογικῆς

II. 7. καθῆκον] Recte, ut videtur, Potterus, *quod convenit*, προσῆκον vero *quod incumbit*.

κατὰ κρίσιν ἀστείαν καὶ ὄρεξιν ἀληθείας διὰ τοῦ συμφυοῦς καὶ συναγωνιστοῦ σώματος ἐκτελουμένη, καθῆκον δὲ ἀκόλουθον ἐν τῷ βίῳ, Θεῷ καὶ Χριστῷ βούλημα ἓν, κατορθούμενον ἀϊδίῳ ζωῇ, καὶ γὰρ ὁ βίος ὁ Χριστιανῶν, ὃν παιδαγωγούμεθα νῦν, σύστημά τί ἐστι λογικῶν πράξεων, τουτέστι τῶν ὑπὸ τοῦ Λόγου διδασκομένων ἀδιάπτωτος ἐνέργεια, ἣν δὴ πίστιν κεκλήκαμεν.

III. *Τὸ δὲ σύστημα ἐντολαὶ κυριακαὶ, αἳ δὴ δόξαι οὖσαι θεϊκαὶ ὑποθῆκαι πνευματικαὶ ἡμῖν αὐτοῖς ἀναγεγράφαται πρός τε ἡμᾶς αὐτοὺς καὶ πρὸς τοὺς πέλας εὔθετοι, καὶ δὴ καὶ αὗται αὖθις πρὸς ἡμᾶς ἀνταναστρέφουσι, καθάπερ πρὸς τὸν βάλλοντα ἡ σφαῖρα, διὰ τὴν ἀντιτυπίαν παλινδρομοῦσα, ὅθεν καὶ ἔστιν ἀναγκαῖα τὰ καθήκοντα εἰς παιδαγωγίαν θεϊκὴν, ὡς ὑπὸ Θεοῦ παρηγγελμένα καὶ εἰς σωτηρίαν πεπορισμένα. Καὶ ἐπεὶ τῶν ἀναγκαίων τὰ μὲν πρὸς τὸ ζῆν ἐστὶ τὸ ἐνταῦθα μόνον, τὰ δὲ ἔνθεν πρὸς τὸ εὖ ζῆν ἐκεῖσε ἀναπτεροῖ, ἀναλόγως καὶ τῶν καθηκόντων τὰ μὲν πρὸς τὸ ζῆν, τὰ δὲ πρὸς τὸ εὖ ζῆν διατάττεται. Ὅσα μὲν οὖν πρὸς τὸ ἐθνικὸν ζῆν παραγγέλλεται, ταῦτα καὶ παρὰ τοῖς πολλοῖς δεδήμευται, ἃ δὲ πρὸς τὸ εὖ ζῆν ἁρμόττει, ἐξ ὧν τὸ ἀΐδιον ἐκεῖνο περιγίνεται ζῆν, ταῦτα δὲ ἐν ὑπογραφῆς μέρει ἐξ αὐτῶν ἀναλεγομένοις τῶν γραφῶν ἐξέστω σκοπεῖν.*

17. *ἀστείαν*] Stoici honestum ac probum vocabant *ἀστεῖον*, cui *φαῦλον* opponebant. *Potter*. Nec frustra videtur hanc vocem usurpare philosophus Christianus, tum sensum quendam pulchritudinis bonorum proprium indicans, tum fortasse etiam *urbanitatem* ejusmodi quæ ad civitatem Dei pertineat.

III. 12. *τὸ ἐθνικὸν ζῆν*] *Vivere sicut ethnicis competit*, scil. honeste secundum carnem.

S. CLEM: ALEXANDRINI

PAEDAGOGI LIB. II.

CAP. I.

Πῶς περὶ τὰς τροφὰς ἀναστρεπτέον.

I. Ἐχομένοις τοίνυν τοῦ σκοποῦ καὶ τὰς γραφὰς πρὸς τὸ βιωφελὲς τῆς παιδαγωγίας ἐκλεγομένοις, ὁποῖόν τινα εἶναι χρὴ παρ᾽ ὅλον τὸν βίον τὸν Χριστιανὸν καλούμενον, κεφαλαιωδῶς ὑπογραπτέον. Ἀρκτέον οὖν ἡμῖν ἀφ᾽ ἡμῶν αὐτῶν, καὶ ὅπως ἁρμόττειν γε χρή. Στοχαζομένοις τοίνυν τῆς συμμετρίας τοῦ συντάγματος, ὁποῖόν τινα τῷ ἑαυτοῦ σώματι ἕκαστον ἡμῶν προσφέρεσθαι, μᾶλλον δὲ ὅπως αὐτὸ ατευθύνειν χρή, λεκτέον. Ὁπόταν γάρ τις ἀπὸ τῶν ἐκτὸς καὶ αὐτῆς ἔτι τῆς τοῦ σώματος ἀγωγῆς ἐπὶ τὴν διάνοιαν ἀναχθεὶς ὑπὸ τοῦ Λόγου τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ σπουδάζειν μὲν περὶ τὰ ἐκτὸς, τὸ δὲ ἴδιον τοῦ ἀνθρώπου τὸ ὄμμα τῆς ψυχῆς ἐκκαθαίρειν, ἁγνίζειν δὲ καὶ τὴν σάρκα αὐτῆς. Ὁ γὰρ ἐκείνων καθαρῶς ἀπολυθεὶς, δι᾽ ὧν ἔτι χοῦς ἐστὶ, τί ἂν ἄλλο προὐργιαίτερον ἑαυτοῦ ἔχοι πρὸς τὸ ὁδῷ ἐλθεῖν ἐπὶ τὴν κατάληψιν τοῦ Θεοῦ; Οἱ μὲν δὴ ἄλλοι ἄνθρωποι ζῶσιν, ἵνα ἐσθίωσιν, ὥσπερ ἀμέλει καὶ τὰ ἄλογα ζῶα, οἷς οὐδὲν ἀλλ᾽ ἢ γαστήρ ἐστιν ὁ βίος, ἡμῖν δὲ ὁ παιδαγωγὸς ἐσθίειν παραγγέλλει, ἵνα ζῶμεν. Οὔτε γὰρ ἔργον ἡμῖν ἡ τροφὴ οὔτε σκοπὸς ἡδονὴ, ὑπὲρ δὲ τῆς ἐνταῦθα διαμονῆς, ἣν ὁ Λόγος εἰς ἀφθαρσίαν παιδαγωγεῖ.

I. 6. συντάγματος] *Operis ordine instituendi.*

15. ἑαυτοῦ] Imaginem Divinam indicat cuique in seipso proxime atque apertissime apparere.

II. Διὸ καὶ ἐκκρίνεται ἡ τροφή. Ἁπλῆ δὲ αὕτη καὶ ἀπερίεργος ἀλήθεια καταλλήλως ἁπλοῖς καὶ ἀπεριέργοις ἁρμόζουσα παιδίοις, ὡς ἂν εἰς τὸ ζῆν, οὐκ εἰς τρυφὴν ἐπιτήδειος. Τὸ δὲ ἐκ δυεῖν τὸ ζῆν τοῦτο ὑγείας τε καὶ ἰσχύος σύγκειται, οἷς μάλιστα κατάλληλον τῆς τροφῆς τὸ εὔκολον, εἴς τε τὰς ἀναδόσεις καὶ τὴν τοῦ σώματος κουφότητα χρησιμεῦον, ἐξ ὧν αὔξησίς τε καὶ ὑγεία καὶ ἰσχὺς δικαία, οὐχὶ δὲ ἄδικος ἢ σφαλερὰ καὶ ἀθλία ὡς ἡ τῶν ἀθλητῶν ἐξ ἀναγκοφαγίας περιγίνεται. Αἱ μὲν οὖν πολυειδεῖς ποιότητες ἀποπτυστέαι, ποικίλας ἐντίκτουσαι βλάβας, καχεξίας σωμάτων, ἀνατροπὰς στομάχων, ἐκπορνευούσης τῆς γεύσεως διά τινος κακοδαίμονος τέχνης τῆς ὀψαρτυτικῆς καὶ τῆς ἀμφὶ τὰ πέμματα ματαιοτεχνίας. Τροφὴν γὰρ τολμῶσι καλεῖν τὴν ἐν τρυφαῖς ἐπιτήδευσιν εἰς ἡδονὰς ἐπιβλαβεῖς ὀλισθαίνουσαν. Ἀντιφάνης δὲ ὁ Δήλιος ἰατρὸς καὶ μίαν τῶν νόσων αἰτίαν ταύτην εἴρηκεν, τῶν ἐδεσμάτων τὴν πολυειδίαν, τῶν περὶ τὴν ἀλήθειαν δυσαρεστούντων κενοδοξίᾳ ποικίλῃ τὸ σῶφρον τῆς διαίτης ἐξομνυμένων καὶ τὰς διαποντίους πολυπραγμονούντων ἐδωδάς.

III. Κἀμοὶ μὲν ἔλεος ὕπεισι τῆς νόσου, οἱ δὲ ἐξυμνεῖν οὐκ αἰσχύνονται τὰς σφετέρας ἡδυπαθείας τὰς ἐν τῷ πορθμῷ τῷ Σικελικῷ σμυραίνας πολυπραγμονοῦντες, καὶ τὰς ἐγχέλεις τὰς Μαιανδρείους, καὶ τὰς ἐν Μήλῳ ἐρίφους, καὶ τοὺς ἐν Σκιάθῳ κεστρεῖς, καὶ τὰς Πελωρίδας κόγχας, καὶ τὰ ὄστρεια τὰ Ἀβυδηνά, οὐ παραλείποντες δὲ τὰς ἐν Λιπάρᾳ μαινίδας οὐδὲ τὴν γογγύλην τὴν Μαντινικήν, ἀλλὰ οὐδὲ τὰ παρὰ τοῖς Ἀσκραίοις τεῦτλα, κτένας τε ἐκζητοῦσι Μηθυμναίους, καὶ ψήττας Ἀττικάς, καὶ τὰς Δαφνίους κίχλας, Χελιδονίους τε ἰσχάδας, δι' ἃς εἰς Ἑλλάδα πεντακο-

II. 2. ἀλήθεια] *Veritas*, cibus scilicet vere ad usum proprium adhibitus. Alii ἡ ἀλήθεια, quod si receperis transibit sensus ad victum spiritualem.

8. ὡς ἡ τῶν ἀθλητῶν] Nempe quo vires in certamen compararent immane quantum comedebant athletæ. Citat Potterus Galenum atque Aristotelem hujus rei testes locupletissimos. Milonem quidem minas xx. carnium, panis totidem ferunt uno tempore consumpsisse.

III. 10. δι' ἃς] Rem non satis probatam ridens fortasse affirmat, sed vide quæ citat Potterus ex Athenæo

σίαις ἅμα μυριάσιν ὁ κακοδαίμων ἐστείλατο Πέρσης. Ὄρνεις ἐπὶ τούτοις συνωνοῦνται τοὺς ἀπὸ Φάσιδος, ἀτταγὰς Αἰγυπτίας, Μῆδον ταῶνα. Ταῦτα τοῖς ἡδύσμασιν ἐξαλλάσσοντες οἱ γαστρίμαργοι τοῖς ὄψοις ἐπικεχήνασιν, ὅσα τε χθὼν πόντου τε βένθη καὶ ἀέρος ἀμέτρητον εὖρος ἐκτρέφει, τῇ αὐτῶν ἐκποριζόμενοι λαιμαργίᾳ· σαγηνεύειν ἀτεχνῶς οἱ πλεονέκται καὶ πολυπράγμονες οὗτοι ἐοίκασιν εἰς ἡδυπάθειαν τὸν κόσμον, ταγήνοις σίζουσι περιηχούμενοι, ἀμφὶ τὴν ἴγδην καὶ τὸν ἀλετρίβανον τὸν πάντα αὐτῶν κατατρίβοντες βίον οἱ παμφάγοι, καθάπερ τὸ πῦρ τῆς ὕλης ἐξεχόμενοι. Ἀλλὰ καὶ τὴν εὔκολον βρῶσιν τὸν ἄρτον ἐκθηλύνουσιν ἀποσήθοντες τοῦ πυροῦ τὸ τρόφιμον, ὡς τὸ ἀναγκαῖον τῆς τροφῆς ὄνειδος γίνεσθαι ἡδονῆς.

IV. Οὐκ ἔχει δὲ ὅρον παρὰ τοῖς ἀνθρώποις ἡ λιχνεία.
Καὶ γὰρ εἰς τὰ πέμματα καὶ τὰ μελίπηκτα, πρὸς δὲ καὶ εἰς
τὰ τραγήματα ἐξώκειλεν ἐπιδορπισμάτων πλῆθος εὑρίσκουσα,
παντοδαπὰς θηρωμένη ποιότητας. Καί μοι δοκεῖ ὁ τοιοῦτος
ἄνθρωπος οὐδὲν ἀλλ' ἢ γνάθος εἶναι· "μηδὲ ἐπιθύμει," φησὶν Prov. xxiii.
ἡ γραφὴ, "τῶν ἐδεσμάτων τῶν πλουσίων· ταῦτα γὰρ ἔχε- 3.
ται βίου ψευδοῦς" τε καὶ αἰσχροῦ· οἱ μὲν γὰρ ἐξέχονται τῶν
ὄψων, ἃ μετ' ὀλίγον ἐκδέχεται κοπρὼν, ἡμῖν δὲ τοῖς θηρωμέ-
νοις τὴν βρῶσιν τὴν ἐπουράνιον ἄρχειν ἀνάγκη τῆς ὑπὸ τὸν
οὐρανὸν γαστρὸς, ἔτι τε μᾶλλον καὶ τῶν ταύτῃ προσφιλῶν,
ἃ ὁ Θεὸς καταργήσει, φησὶν ὁ Ἀπόστολος, εἰκότως ἐπικα-
ταρώμενος λαιμάργοις ἐπιθυμίαις, "τὰ γὰρ βρώματα τῇ κοι- 1 Cor. vi.
λίᾳ," ἐξ ὧν ὁ σαρκικὸς ὄντως οὑτοσὶ καὶ φθοροποιὸς ἀπήρτηται 13.
βίος, ὃν ἀγάπην τινὲς τολμῶσι καλεῖν ἀθύρῳ γλώττῃ κεχρη-
μένοι, δειπνάριά τινα κνίσσης καὶ ζωμῶν ἀποπνέοντα, τὸ καλὸν
καὶ σωτήριον ἔργον τοῦ Λόγου, τὴν ἀγάπην τὴν ἡγιασμένην,

l. xiv. c. 18. de Xerxe ab eunucho quodam expeditionis Atticæ admonito per ficus in cœna appositos. Vid. et Plut. Apophth. prope libri initium, ubi traditur Xerxem ficus Atticos noluisse emptos comedere. Chelidoneæ autem appellabantur propter colorem hirundinis, infra albidum, supra vero nigricantem.

22. τὸ τρόφιμον] Recte Potterus in versione 'id quod in frumento maxime nutrit,' neque enim quadrat sensus si *passive* accipias de parte crassiore. Videtur autem S. Clemens ignorasse in ista parte minus nutritionis inesse.

κυθριδίοις καὶ ζωμοῦ ῥύσει καθυβρίζοντες, ποτῷ τε καὶ τρυφῇ καὶ καπνῷ βλασφημοῦντες τοὔνομα, σφάλλονται τῆς ὑπολήψεως, τὴν ἐπαγγελίαν τοῦ Θεοῦ δειπναρίοις ἐξωνεῖσθαι προσδοκήσαντες. Τὰς μὲν γὰρ ἐπὶ τῆς εὐφροσύνης συναγωγὰς ἐγκαταλεγόμενοι καὶ αὐτοὶ δειπνάριά τε καὶ ἄριστα καὶ δοχὰς εἰκότως ἂν καλοῖμεν τὴν συνήλυσιν ταύτην ἑπόμενοι λόγῳ, τὰς τοιαύτας δὲ ἑστιάσεις ὁ Κύριος ἀγάπας οὐ κέκλη-
Luc. xiv. 8—10. κεν. Λέγει γοῦν πῇ μὲν "ὅταν κληθῇς εἰς γάμους, μὴ κατάκεισο εἰς τὴν πρωτοκλισίαν, ἀλλ' ὅταν κληθῇς, εἰς τὸν
Ib. 12, 13. "ἔσχατον τόπον ἀνάπιπτε," πῇ δὲ "ὅταν ποιῇς ἄριστον ἢ "δεῖπνον" καὶ πάλιν "ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει τοὺς "πτωχοὺς," ἐφ' ᾧ μάλιστα δεῖπνον ποιητέον. Ἔτι τε
Ib. 16. "ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα καὶ ἐκάλεσε πολλούς."

V. Ἀλλ' αἰσθάνομαι ὅθεν ἡ εὐπρόσωπος ἐρρύη τῶν δείπνων προσηγορία,

ἀπὸ τῶν φαρύγγων καὶ φοιτητῆς μανίας ἐπὶ δείπνων κατὰ τὸν κωμικόν. Ἔστι γὰρ ὡς ἀληθῶς

τὰ πολλὰ τοῖς πολλοῖσι τοῦ δείπνου χάριν.

οὐ γάρ που μεμαθήκασι τὸν Θεὸν παρασκευάσαι τῷ δημιουργήματι, τῷ ἀνθρώπῳ λέγω, σῖτα καὶ ποτὰ τοῦ σώζεσθαι χάριν, οὐχὶ δὲ τοῦ ἥδεσθαι, ἐπεὶ μηδὲ ὠφελεῖσθαι πέφυκε τὰ σώματα ἐκ τῆς πολυτελείας τῶν βρωμάτων· πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι καὶ ὑγιεινότατοι καὶ γενναιότατοι, ὡς οἰκέται δεσποτῶν καὶ γεωργοὶ κτητόρων· καὶ οὐ μόνον ῥωμαλεώτεροι, ἀλλὰ καὶ φρονιμώ-

IV. 18. An fumum indicat toxici cujusdam, quale Herodotus apud Scythas quosdam memorat, l. I. c. 202?

19. ἐξωνεῖσθαι] Confert Potterus S. Petri responsum Act. viii. 20. Intelligere autem possis vel dilectionem ipsam, vel ea quæ vere invicem diligentibus a Domino promissa sunt.

23. ἀγάπας] Citat Potterus Tertullianum hoc nomine usum conviviorum clericis et pauperibus alendis celebratorum, necnon recte, ut videtur, S. Judam, com. 12. eodem sensu intelligit. Hic vero de conviviis agitur nulla præter solitum modestia insignibus, neque ad pauperum sustentationem sed voluptatis causa adhibitis: propter abusum tamen vocabuli, ab usu etiam abstinendum judicat, cum non sit usus ipso Veritatis ore consecratus.

V. 2. προσηγορία] Qua nempe ἀγάπαι appellabantur. Vid. inf. VI. 4.

11. οἰκέται] Hoc vero non nisi in degeneri quodam statu accidit; nempe ubi viget disciplina aliqua atque exercitatio viris digna, liberi servis corpore etiam præstantiores existunt.

τεροι, ὡς φιλόσοφοι πλουσίων· οὐ γὰρ ἐπέχωσαν τὸν νοῦν ταῖς τροφαῖς οὐδὲ ἠπάτησαν αὐτὸν ἡδοναῖς. Ἀγάπη δὲ τῷ ὄντι ἐπουράνιός ἐστι τροφὴ, ἑστίασις λογικὴ, “ πάντα στέγει, πάντα ὑπομένει, πάντα ἐλπίζει, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει·” (1 Cor. xiii. 7, 8.) “ μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ,” (Luc. xiv. 15.) χαλεπώτατον δὲ πάντων πτωμάτων τὴν ἄπτωτον ἀγάπην ἄνωθεν ἐξ οὐρανῶν ἐπὶ τοὺς ζωμοὺς ῥίπτεσθαι χαμαί. Καὶ οἴει με δεῖπνον ἡγεῖσθαι τὸ καταργούμενον; “ ἐὰν γὰρ,” φησὶ, “ διαδῶ τὰ ὑπάρχοντά μου, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.” (1 Cor. xiii. 3.)

VI. Ταύτης ὅλης ἀπήρτηται τῆς ἀγάπης ὁ νόμος καὶ ὁ Λόγος, κἂν ἀγαπήσῃς Κύριον τὸν Θεόν σου καὶ τὸν πλησίον σου, ἐν οὐρανοῖς ἐστὶν αὕτη ἡ ἐπουράνιος εὐωχία, ἡ δὲ ἐπίγειος δεῖπνον κέκληται, ὡς ἐκ τῆς γραφῆς ἀποδέδεικται, δι' ἀγάπην μὲν γινόμενον τὸ δεῖπνον, ἀλλ' οὐκ ἀγάπη τὸ δεῖπνον, δεῖγμα δὲ εὐνοίας κοινωνικῆς καὶ εὐμεταδότου. “ Μὴ βλασφημείσθω οὖν ἡμῶν τὸ ἀγαθὸν, οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ “ βρῶσις καὶ πόσις,” φησὶν ὁ Ἀπόστολος, ἵνα μὴ τὸ ἐφήμερον ἄριστον νοηθῇ, “ ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ “ ἐν Πνεύματι Ἁγίῳ.” (Rom. xiv. 16, 17.) Τούτου ὁ φαγὼν τοῦ ἀρίστου τὸ ἄριστον τῶν ὄντων, τὴν βασιλείαν τοῦ Θεοῦ κτήσεται, μελετήσας ἐνθένδε ἁγίαν συνήλυσιν ἀγάπης, οὐράνιον ἐκκλησίαν.

VII. Ἀγάπη μὲν οὖν χρῆμα καθαρὸν καὶ τοῦ Θεοῦ ἄξιον, ἔργον δὲ αὐτῆς ἡ μετάδοσις, “ φροντὶς δὲ παιδείας ἀγάπη,” ἣν ἡ σοφία λέγει, “ ἀγάπη δὲ τήρησις νόμων αὐτῆς.” (Sap. vi. 17, 18.) Αἱ δὲ εὐφροσύναι αὗται ἔνανσμά τι ἀγάπης ἐκ τῆς πανδήμου τροφῆς ἔχουσι συνεθιζόμενον εἰς ἀΐδιον τρυφήν. Ἀγάπη μὲν οὖν δεῖπνον οὐκ ἔστιν, ἡ δ' ἑστίασις ἀγάπης ἠρτήσθω.

17. ἄριστον] Ita legi in codicibus quibusdam non contemnendis testatur, inter alios N. T. editores, Scholzius, qui hanc lectionem recensioni Constantinopolitanæ attribuit, nec tamen ignarus S. Clementem ita legisse. Pergit S. Clemens pro more suo, in voce aliquantulum ludere.

VII. 5. συνεθιζόμενον] Nec male apud nostrates philosophorum princeps gaudii definitionem posuit, 'Nominis Dei meminisse.' Quod tamen ita accipiendum ut in omni gaudio mysterii aliquid intelligas, quod vero ita se habeat ut ad Deum referri nequeat idololatriæ vel demonolatriæ rationem habere.

Sap. xvi. 26. "Μαθέτωσαν γάρ," φησὶν, "οἱ υἱοί σου, οὓς ἠγάπησας, Κύριε, ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄνθρωπον, ἀλλὰ τὸ ῥῆμά σου τούς σοι πιστεύοντας διατηρεῖ·" οὐ γὰρ ἐπ' ἄρτῳ ζήσεται ὁ δίκαιος. ἀλλὰ γὰρ τὸ δεῖπνον ἔστω λιτὸν ἡμῖν καὶ εὔζωνον, ἐπιτήδειον εἰς ἐγρήγορσιν, ποικίλαις ἀνεπίμικτον ποιότησιν, οὐκ ἀπαιδαγώγητον οὐδὲ τοῦτο· ἀγαθὴ γὰρ κουροτρόφος αὐτάρκεια εἰς κοινωνίαν ἀγάπη ἐφόδιον ἔχουσα πλούσιον, τὴν αὐτάρκειαν, ἣ δὴ ἐφεστῶσα τῇ τροφῇ, δικαίᾳ ποσότητι μεμετρημένη, σωτηρίως τὸ σῶμα διοικοῦσα, καὶ τοῖς πλησίον ἀπένειμέν τι ἐξ αὐτῆς, ἡ δὲ ὑπερβλύζουσα τὴν αὐτάρκειαν δίαιτα τὸν ἄνθρωπον κακοῖ, νωθῆ μὲν τὴν ψυχὴν, ἐπισφαλὲς δὲ εἰς νόσον ἐργαζομένη τὸ σῶμα. Ναὶ μὴν προστρίβονται βλασφημίας δυσανασχετοῦσαι περὶ τὰς καρυκείας ἡδοναὶ, λιχνείαν, λαιμαργίαν, ὀψοφαγίαν, ἀπληστίαν, ἀδηφαγίαν. Μυῖαι τούτοις οἰκεῖαι τοῖς ὀνόμασι καὶ γαλαῖ, κόλακές τε, καὶ μονομάχαι, καὶ τὰ ἄγρια τῶν παρασίτων φῦλα, γαστρὸς ἡδονῆς οἱ μὲν τὸν λόγον, οἱ δὲ τὴν φιλίαν, οἱ δὲ τὸ ζῆν ἀποδιδόμενοι, ἐπὶ γαστέρας ἕρποντες, θηρία ἀνδρείκελα, κατ' εἰκόνα τοῦ πατρὸς αὐτῶν τοῦ λίχνου θηρίου. Ἀσώτους τ' αὐτοὺς οἱ καλέσαντες πρῶτον εὖ μοι δοκοῦσιν αἰνίττεσθαι τὸ τέλος αὐτῶν, ἀσώστους αὐτοὺς, κατὰ ἔκθλιψιν τοῦ σ̄ στοιχείου νενοηκότες. Ἠ γὰρ οὐχ οὗτοι οἱ περὶ τὰς λοπάδας ἀσχολούμενοι, καὶ τὰς μεμορημένας τῶν ἡδυσμάτων περιεργίας, οἱ ταπεινόφρονες, χαμαιγενεῖς, τὸν ἐφήμερον διώκοντες βίον, ὡς οὐ ζησόμενοι;

11. εὔζωνον] Cœnam ipsam *expeditam* appellat quæ hominem expeditum deceat. Confer autem Exod. xii. 11.

12. ἀγαθὴ] Citat Potterus Hom. Od. ix. 27. et seqq.

13. αὐτάρκεια] Hanc vocem putat Sylburgius a margine in textum irrepsisse, Herveti versionem secutus; cum vero nullum codicem protulerit Potterus a quo vox absit, reddendus est sensus qualiscunque vel, 'Bona est nutrix communicandi sufficientia,' vel 'Bona quædam et altrix sufficientia ad communicandum est dilectio.'

19. βλασφημίας] Mala nomina.

22. μονομάχαι] Certamen voracitatis in voluptatem spectantium intelligit Potterus, quod quidem satis apte congruit cum sequentibus, si modo ordinem minus accurate servatum intelligas, nempe ut hi sint qui vitam cibo venditant.

24. ἐπὶ γαστέρας] Respicit serpentem, Gen. iii. 14.

29. μεμορημένας] Deducunt quidam a μείρομαι pro ἱμείρομαι posito, dividendi autem sensus a cura exquisitiore haudquaquam alienus est.

VIII. Τούτους ταλανίζει διὰ Ἡσαΐου τὸ ἅγιον Πνεῦμα,
ἠρέμα πως τῆς ἀγάπης τὸ ὄνομα ὑπεξελόμενον, ἐπεὶ μὴ κατὰ
λόγον ἡ ἑστίασις ἦν· "αὐτοὶ δὲ ἐποίησαν εὐφροσύνην σφάζον- Es. xxii.
τες μόσχους καὶ θύοντες πρόβατα λέγοντες, φάγωμεν καὶ 13, 14.
πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν." Καὶ ὅτι γε τὴν τοιαύ-
την τρυφὴν ἁμαρτίαν λογίζεται, ἐπιφέρει· "καὶ οὐ μὴ ἀφε-
θήσεται ἡ ἁμαρτία ὑμῶν αὕτη, ἕως ἂν ἀποθάνητε," οὐχὶ
ἄφεσιν τῆς ἁμαρτίας θάνατον ἀναίσθητον, ἀλλὰ ἀνταπόδοσιν
ἁμαρτίας θάνατον σωτηρίας ἐπικρίνας. "Μὴ εὐφρανθῇς δὲ Ecclus.
ἐπὶ μιαρᾷ τρυφῇ," ἡ σοφία λέγει. Ἐνταῦθα ὑπομνηστέον xviii. 32.
καὶ περὶ τῶν εἰδωλοθύτων καλουμένων, ὅπως ποτὲ ἄρα παραγ-
γέλλεται ἀποσχέσθαι δεῖν τούτων. Μιαρὰ δοκεῖ μοι καὶ
βδελυρὰ ἐκεῖνα, ὧν ἐφίπτανται τοῖς αἵμασι

ψυχαὶ ὑπὲξ ἐρέβευς νεκύων κατατεθνειώτων.

"Οὐ γὰρ θέλω ὑμᾶς κοινωνοὺς δαιμονίων γίνεσθαι," ὁ Ἀπό- 1 Cor. x.
στολος λέγει, ἐπεὶ δίχα σωζομένων καὶ φθιμένων τροφαί. 20.
Ἀφεκτέον τοίνυν τούτων οὐ δεδιότας, οὐ γάρ ἐστί τις ἐν
αὐτοῖς δύναμις, διὰ δὲ τὴν συνείδησιν τὴν ἡμετέραν ἁγίαν
οὖσαν, καὶ τῶν δαιμονίων διὰ τὴν βδελυρίαν, οἷς ἐπικατωνόμα-
σται, μυσαττομένους, καὶ προσέτι διὰ τὴν τῶν ὀλισθηρῶς τὰ
πολλὰ ὑπολαμβανόντων ὑδαρότητα, οἷς "ἡ συνείδησις ἀσθε- 1 Cor. viii.
"νοῦσα μολύνεται, βρῶμα" γὰρ "ἡμᾶς οὐ παραστήσει τῷ 7, 8.
"Θεῷ·" "οὐδὲ τὰ εἰσιόντα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ Matt. xv.
"ἐξιόντα," φησὶ, "τοῦ στόματος." 11.

IX. Ἀδιάφορος ἄρα ἡ φυσικὴ χρῆσις τῆς τροφῆς· "οὔτε 1 Cor. viii.
"γὰρ ἐὰν φάγωμεν, περισσεύομεν," φησὶν, "οὔτε ἐὰν μὴ 8.
"φάγωμεν, ὑστερούμεθα·" ἀλλ' οὐκ εὔλογον τραπέζης δαι-
μονίων μεταλαμβάνειν τοὺς θείας μετέχειν καὶ πνευματικῆς
κατηξιωμένους τροφῆς. "Μὴ γὰρ οὐκ ἔχομεν ἐξουσίαν
"φαγεῖν καὶ πιεῖν," φησὶν ὁ Ἀπόστολος, "καὶ γυναῖκας Ib. ix. 4, 5.
"περιάγεσθαι;" Ἀλλὰ κρατοῦντες δηλονότι τῶν ἡδονῶν

VIII. 9. ἐπικρίνας] Impressi ἀποκρίνας, nulla codd. MSS. auctoritate, uti testatur Potterus.

14. Hom. Od. λ'. v. 37.

16. φθιμένων] Al. φθινομένων.

21. ὑδαρότητα] Facilem quandam animi mobilitatem notat, quæ parva occasione data in malum labi possit.

Ib. viii. 9. κωλύομεν τὰς ἐπιθυμίας. "Βλέπετε οὖν μή ποτε ἡ ἐξουσία "ἡμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενέσιν." Οὐ χρὴ οὖν καθάπερ ἀσωτευομένους ἡμᾶς, κατὰ τὴν ἐν τῷ Εὐαγγελίῳ
Luc. xv. 11. τοῦ πλουσίου παιδὸς εἰκόνα, παραχρῆσθαι τοῖς τοῦ πατρὸς δωρήμασι, χρῆσθαι δὲ αὐτοῖς, ὡς ἄρχοντας, ἀπροσκλινῶς· καὶ γὰρ βασιλεύειν ἐτάχθημεν καὶ κατακυριεύειν, οὐχὶ δουλεύειν τοῖς βρώμασιν. Ἀγαστὸν μὲν οὖν πρὸς τὸ ἀληθὲς ἀναθρήσαντας τῆς ἄνω τροφῆς ἐξέχεσθαι τῆς θείας, καὶ τῆς τοῦ ὄντως ὄντος ἀπληρώτου ἐμπίμπλασθαι θέας, τῆς βεβαίου καὶ μονίμου καὶ καθαρᾶς γευομένους ἡδονῆς. Ταύτην γὰρ τὴν ἀγάπην ἐκδέχεσθαι δεῖν ἐμφαίνει ἡ βρῶσις ἡ Χριστοῦ· κομιδῇ δὲ ἄλογον καὶ ἀχρεῖον καὶ οὐκ ἀνθρώπειον, βοσκημάτων δίκην πιαινόμενον, θανάτῳ τρέφεσθαι, κάτω βλέποντας εἰς γῆν, τοὺς ἐκ γῆς ἀεὶ κεκυφότας εἰς τραπέζας, τὴν λίχνον διωκάθοντας ζωήν, τὸ ἀγαθὸν ἐνταῦθά που κατορύξαντας περὶ τὴν οὐκ ἐσομένην ζωήν, μόνην κολακεύοντας τὴν κατάποσιν, δι' ἣν πολυτιμότεροι γεγόνασι μάγειροι γεωργῶν. Μὴ γὰρ ἀφαιροῦμεν τὴν συμπεριφορὰν, ἀλλὰ τὸν ὄλισθον τῆς συνηθείας, ὡς συμφορὰν, ὑποπτεύομεν.

X. Διὸ παραιτητέον τὴν λιχνείαν, ὀλίγων τινῶν καὶ ἀναγκαίων μεταλαμβάνοντας, καὶ εἴ τις ἡμᾶς καλεῖ τῶν ἀπίστων καὶ πορεύεσθαι κρίνομεν—καλὸν γὰρ μὴ συναναμίγνυσθαι τοῖς ἀτάκτοις—, πᾶν τὸ παρατιθέμενον κελεύει ἡμῖν ἐσθίειν μηδὲν ἀνακρίνουσι διὰ τὴν συνείδησιν, ὁμοίως δὲ καὶ τὰ ἐκ μακέλλου ἀπεριέργως ὠνεῖσθαι προσέταξεν. Οὐκ ἀφεκτέον οὖν παντελῶς τῶν ποικίλων βρωμάτων, ἀλλ' οὐ περὶ αὐτὰ σπουδαστέον· μεταληπτέον δὲ τῶν παρατιθεμένων, ὡς πρέπον

IX. 12. ἀπροσκλινῶς] Ne ad voluptatem, quasi ad amicum judicis potentem, inclinet animus.

16. θέας] Cf. Matt. v. 8. 1 Cor. xiii. 12. 1 Joh. iii. 2, 3. Ps. xvi. 11. xvii. 15. xxi. 6.

18. ἀγάπην] Scil. cœlestem amoris Divini cœnam, de qua accuratius quicquam statuere ineptioris audaciæ foret. Respicit vere S. Clemens *Panem Angelorum* Ps. lxxviii. 25.

21. τοὺς] Malim τὰς, ut sensus sit, *in mensas terrestres semper pronos.* Nam dapes terrestres sæpe opponuntur τῇ ἄνω τροφῇ. Nisi ad præcedentia hoc referri debeat.

22. τὸ ἀγαθὸν] Judicio suo in hoc quasi sepulcro collocantes.

25. συμπεριφορὰν] Neque enim mala est natura Dei creatura, quam Sancti etiam circumferunt.

X. 3. κρίνομεν] Voluntatem notat significari.

Χριστιανῷ, τιμῶντας μὲν τὸν κεκληκότα κατὰ τὴν ἀβλαβῆ
καὶ ἀπροσκορῆ τῆς συνουσίας κοινωνίαν, ἀδιάφορον δὲ ἡγου-
μένους τῶν εἰσκομιζομένων τὴν πολυτέλειαν, καταφρονοῦντας
τῶν ὄψων, ὡς μετ' ὀλίγον οὐκ ὄντων. "Ὁ ἐσθίων τὸν μὴ Rom. xiv. 3.
"ἐσθίοντα μὴ ἐξουθενείτω, ὁ δὲ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ
"κρινέτω." Μικρὸν δὲ ὑποβὰς καὶ τὴν αἰτίαν τῆς παραγ-
γελίας ἐξηγήσεται· "Ὁ ἐσθίων," λέγων, "Κυρίῳ ἐσθίει, καὶ
"εὐχαριστεῖ τῷ Θεῷ, καὶ ὁ μὴ ἐσθίων Κυρίῳ οὐκ ἐσθίει, καὶ Ib. 6.
"εὐχαριστεῖ τῷ Θεῷ·" ὡς εἶναι τὴν δικαίαν τροφὴν εὐχα-
ριστίαν, καὶ ὅ γε ἀεὶ εὐχαριστῶν οὐκ ἀσχολεῖται περὶ ἡδονάς.
Εἰ δὲ καὶ προτρεποίμεθα ἐπ' ἀρετῇ τῶν συνεστιωμένων τινὰς,
ταύτῃ πλέον ἀφεκτέον τῶν λίχνων τούτων βρωμάτων, ἐναρ-
γὲς ὑπόδειγμα ἀρετῆς σφᾶς αὐτοὺς παριστάντας, ὡς Χριστὸν
ἐσχήκαμεν αὐτοί. "Εἰ γάρ τι τῶν τοιούτων βρωμάτων 1 Cor. viii. 13.
"σκανδαλίζει τὸν ἀδελφὸν, οὐ μὴ φάγω," φησὶ, "τοῦτο εἰς
"τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω." Ὀλίγης
ἐγκρατείας κερδαίνω τὸν ἄνθρωπον. "Μὴ γὰρ οὐκ ἔχομεν Ib. ix. 4.
"ἐξουσίαν φαγεῖν καὶ πιεῖν;" καὶ τὴν ἀλήθειαν "ἐπεγνώ-
"καμεν," φησὶν, "ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ," ἀλλὰ μόνος Ib. viii. 4,
ὄντως ἐστὶν "εἷς ἡμῶν Θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ib. 6.
"Ἰησοῦς. Ἀλλὰ ἀπόλλυται," φησὶ, "τῇ σῇ γνώσει ὁ Ib. 11, 12.
"ἀδελφὸς ἀσθενῶν, δι' ὃν Χριστὸς ἀπέθανεν. Οἱ δὲ τὴν
"συνείδησιν τύπτοντες τῶν ἀσθενούντων ἀδελφῶν, εἰς Χρι-
"στὸν ἁμαρτάνουσιν." Ταύτῃ τοὶ ὁ ἀπόστολος, εὐλαβούμενος
περὶ ἡμῶν, τὰ δεῖπνα διακρίνει, "μὴ συναναμίγνυσθαι" φάσ- Ib. v. 11.
"κων, εἴ τις ἀδελφὸς λεγόμενος εὑρίσκοιτο πόρνος ἢ μοιχὸς
"ἢ εἰδωλολάτρης, τούτῳ μηδὲ συνεσθίειν," ἢ τὸν λόγον ἢ
τὸ ὄψον, ὑποπτεύων τὸν μολυσμὸν τὸν ἐντεῦθεν, καθάπερ
καὶ τῶν δαιμονίων τὰς τραπέζας.

XI. "Καλὸν μὲν οὖν τὸ μὴ φαγεῖν κρέα μηδὲ οἶνον πιεῖν" Rom. xiv. 21.
αὐτός τε ὁμολογεῖ καὶ οἱ ἀπὸ τοῦ Πυθαγόρου· θηρίων γὰρ

XI. 2. ὁμολογεῖ] Apostolum intelligit eatenus cum Philosophis consensisse ut talem abstinentiam libero edendi usu meliorem judicaret, ex causis nempe proxime allegandis. Senecam accepimus propter ejusmodi rationes per annos aliquot esu animalium abstinuisse, qui quidem dubitat annon isto tempore liberius atque expeditius ingenium habuerit.

μᾶλλον τοῦτό γε, καὶ ἡ ἀπ' αὐτῶν ἀναθυμίασις θολωδεστέρα οὖσα ἐπισκοτεῖ τῇ ψυχῇ. Εἰ δέ τις καὶ τούτων μεταλαμβάνει, οὐχ ἁμαρτάνει, μόνον ἐγκρατῶς μετεχέτω, μὴ ἐξεχόμενος μηδὲ ἀπηρτημένος αὐτῶν, μηδὲ ἐπιλαιμαργῶν τῷ ὄψῳ· ὑπηχήσει γὰρ αὐτῷ φωνή· "Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ "ἔργον τοῦ Θεοῦ," λέγουσα. (Rom. xiv. 20.) Ἀνοήτου γὰρ σφόδρα θαυμάζειν καὶ τεθηπέναι τὰ παρατιθέμενα ταῖς δημώδεσιν ἑστιάσεσιν μετὰ τὴν ἐν Λόγῳ τρυφὴν, πολλῷ δέ ἐστιν ἀνοητότερον τὰς ὄψεις τοῖς προσοψήμασι δεδουλωκέναι, συμμεταφερομένης αὐτῶν, ὡς εἰπεῖν, τῆς ἀκρασίας πρὸς τῶν διακόνων. Πῶς δὲ οὐκ ἀχρεῖον τὸ ἐπανίστασθαι ταῖς κλισίαις, μονονουχὶ τὸ πρόσωπον ταῖς λοπάσιν ἐπιρριπτοῦντας, καθάπερ ἐκ νεοττίας, τῆς κλισίας προκύπτοντας, τὸ δὴ θρυλούμενον τοῦτο· ἵνα πλανωμένην λάβωσι τὴν ἀτμίδα διὰ τῆς ἀναπνοῆς; Πῶς δὲ οὐκ ἄλογον τὰς χεῖρας ἐπεμφύρειν τοῖς ἡδύσμασιν ἢ συνεχὲς ἐπὶ τοὖψον ἐκτείνειν, οὐκ ἀπογευομένων ἀλλ' ἀφαρπαζόντων δίκην ἀμέτρως καὶ ἀσχημόνως ἐμφορουμένους; ἔστι γὰρ ὁρᾶν τοὺς τοιούτους ὑσὶν ἢ κυσὶν διὰ τὴν λαβρότητα μᾶλλον ἢ ἀνθρώποις ὡμοιωμένους, τοὺς χορτάζεσθαι σπεύδοντας, ὡς καὶ τὰς γνάθους ἅμα ἄμφω ἐξογκοῦσθαι τῶν περὶ τὸ πρόσωπον ἀγγείων προσεπαιρομένων, πρὸς δὲ καὶ ἱδρῶτα περιχεῖσθαι τῇ ἀπληστίᾳ συνεχομένων καὶ ἀσθμαινόντων ὑπὸ ἀκρασίας, ὠθουμένης κατ' ἔπειξιν ἀκοινώνητον εἰς κοιλίαν τῆς τροφῆς, ὥσπερ εἰς ἐφόδιον, οὐκ εἰς ἀνάδοσιν, ἀποτιθεμένων τὰ ἐδέσματα. Πανταχῇ δὲ κακὸν οὖσα ἡ ἀμετρία περὶ τὰς τροφὰς μάλιστα διελέγχεται.

XII. Ἡ γοῦν ὀψοφαγία οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου, καὶ ἡ λαιμαργία μανία περὶ τὸν λαιμὸν,

23. ἀγγείων] Non buccis modo inhoneste repletis, verum etiam venis congesto sanguine exstantibus.

25. ἀκοινώνητον] Ejusmodi, scilicet, quæ ab aliorum societate aliena sit. Vide autem quæ infra citantur ex Apostolo.

27. ἀνάδοσιν] *digestionem.*

XII. 2. ὄψου] Vocabulum hoc nunc latius patet, nunc sensu arctiore usurpatur. Hic vero significari videtur quodcunque cibi crassioris cum pane comedi soleat. Citat Potterus Plutarchum Sympos. iv. pr. 4. de piscibus solis usurpantem, Xenophontem vero Mem. iii. de obsonio quolibet.

καὶ ἡ γαστριμαργία ἀκρασία περὶ τὴν τροφὴν, ὡς δὲ καὶ τοὔνομα περιέχει, μανία ἐπὶ γαστέρα, ἐπεὶ μάργος ὁ μεμηνώς. Τοὺς ἐπὶ ἑστιάσεως οὖν μελετῶντας ἀδικεῖν ὁ ἀπόστολος ἀνακρούων λέγει· "Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον 1 Cor. xi. 21, 22.
" προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. " Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; Ἢ τῆς " ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ " ἔχοντας;" Παρὰ δὲ τοῖς ἔχουσιν οἱ ἀνέδην ἐσθίοντες, οἱ ἄπληστοι, ἑαυτοὺς καταισχύνουσιν, ἄμφω δὲ πράττουσι κακῶς, οἱ μὲν τοὺς μὴ ἔχοντας βεβαρηκότες, οἱ δὲ τὴν ἀκρασίαν τὴν σφῶν παρὰ τοῖς ἔχουσι γεγυμνωκότες. Ἀναγκαίως ἄρα πρὸς τοὺς ἀπηρυθριακότας, καὶ τοῖς δείπνοις ἀφειδέστερον παραχρωμένους, τοὺς ἀκορέστους, οἷς μηδὲν ἱκανὸν, ἀποταθεὶς ὁ ἀπόστολος, πάλιν ἐκ δευτέρου ἔρρηξε φωνὴν ἀγανακτικήν. Ib. 33, 34.
"Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν ἀλλήλους " ἐκδέχεσθε. Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς " κρίμα συνέρχησθε."

XIII. Ἀφεκτέον οὖν δουλοπρεπείας ἁπάσης καὶ ἀκρασίας τῶν παρατιθεμένων κοσμίως ἐφαπτομένοις, ἀμόλυντον καὶ τὴν χεῖρα καὶ τὴν στρωμνὴν καὶ τὸ γένειον φυλάττουσιν, τὸ εὔσχημον τοῦ προσώπου διατηροῦσιν ἀδιάστροφον, οὐκ ἀσχημονοῦσιν οὐδὲ περὶ τὴν κατάποσιν, ἀλλὰ τὴν μὲν χεῖρα μετὰ τάξεως ἐκ διαστημάτων ἐκτατέον· παραφυλακτέον γὰρ καὶ τὸ φθέγγεσθαι ὁτιοῦν ἐσθίοντα ἅμα· ἀπρεπὴς γὰρ καὶ ἄσημος ἡ φωνὴ γίνεται, πλήρεσι ταῖς γνάθοις στενοχωρουμένη· καὶ ἡ γλῶσσα τῇ τροφῇ πιεζομένη τῆς κατὰ φύσιν ἐνεργείας παραποδισθεῖσα τὴν προφορὰν ἐκδίδωσι τεθλιμμένην. Ἀλλ' οὐδὲ ἐσθίειν ἅμα καὶ πίνειν καθήκει· ἀκρασίας γὰρ τῆς μεγίστης συγχεῖν τοὺς καιροὺς, ὧν αἱ χρήσεις ἀσύμφωνοι. Καὶ "Εἴτε ἐσθίετε," φησὶν, " εἴτε πίνετε,—πάντα εἰς Ib. x. 31.
" δόξαν Θεοῦ ποιεῖτε·" στοχαζόμενοι τῆς ἀληθοῦς εὐτελείας, ἥν μοι δοκεῖ καὶ ὁ Κύριος αἰνίξασθαι τοὺς ἄρτους εὐλογήσας

5. μελετῶντας] Illud ex proposito agentes, ut cæteros anteverterent.
11. ἄμφω] Et ii qui in cœna exiliore, et qui in abundanti omnium rerum copia, fœda ingluvie utuntur.

καὶ τοὺς ἰχθύας τοὺς ὀπτούς, οἷς κατευώχησε τοὺς μαθητάς, τῆς ἀπεριέργου τροφῆς καλὸν εἰσηγούμενος ὑπόδειγμα.

XIV. Ὁ γοῦν ἰχθὺς ἐκεῖνος, ὃν κελεύσαντος τοῦ Κυρίου ὁ Πέτρος εἷλεν, εὔκολον καὶ αὐτὸς καὶ θεοδώρητον καὶ σώφρονα αἰνίττεται τροφήν. Ἀφαιρεῖν γέ τοι ὑποτίθεται διὰ τῶν ἐξ ὕδατος ἀνιόντων ἐπὶ τὸ τῆς δικαιοσύνης δέλεαρ, τὴν ἀσωτίαν καὶ τὴν φιλαργυρίαν, ὡς τὸ νόμισμα τοῦ ἰχθύος, ἵνα χωρίσῃ τὴν κενοδοξίαν, καὶ τὸν στατῆρα τοῖς τελώναις δούς, τὰ Καίσαρος ἀποδοὺς τῷ Καίσαρι, φυλάξῃ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Ἔχοι δὲ καὶ ἄλλας ἐπιλύσεις οὐκ ἀγνοουμένας ὁ στατήρ, ἀλλ' οὐχ ὁ παρὼν ἐπιτήδειος τῆς ἐξεργασίας καιρός. Ἀπόχρη δὲ ὑπόμνησις, συγχρωμένων ἡμῶν εἰς τὸ προκείμενον, οὐκ ἀπᾴδουσα τοῦ Λόγου τοῖς ἄνθεσιν, ὅπερ ἤδη πολλάκις πεποιήκαμεν, πρὸς τὸ κατεπεῖγον τοῦ ζητήματος τὴν πολυωφελῆ περιέλκοντες εἰς ἀρδείαν τῶν φυτευομένων ὑπὸ τοῦ Λόγου πηγήν. Καὶ γὰρ εἰ πάντων μεταλαμβάνειν "ἔξεστί "μοι, ἀλλ' οὐ πάντα συμφέρει·" ταχὺ γὰρ καταπίπτουσιν ἐπὶ τὸ δρᾶν τὸ μὴ ἐξὸν οἱ πάντα δρῶντες ἃ ἐξόν. Ὡς δὲ ἡ δικαιοσύνη διὰ πλεονεξίας οὐ περιγίνεται οὐδὲ ἡ σωφροσύνη δι' ἀκολασίας, οὕτως οὐδὲ ἡ τοῦ Χριστιανοῦ δίαιτα ἡδυπαθείᾳ περικτᾶται, πόρρω γάρ ἐστι τῶν πασχητιώντων ἐδεσμάτων ἡ τράπεζα τῆς ἀληθείας. Εἰ γὰρ καὶ τὰ μάλιστα ἕνεκεν τῶν ἀνθρώπων ἐγένετο τὰ πάντα, ἀλλ' οὐ πᾶσι χρῆσθαι καλόν, ἀλλ' οὐδὲ ἀεί. Καὶ γὰρ ὁ καιρὸς καὶ ὁ χρόνος καὶ ὁ τρόπος καὶ τὸ πρός τί οὐκ ὀλίγην τῷ παιδαγωγουμένῳ πρὸς τὸ λυσιτελὲς ἐνδίδωσι ῥοπήν, καὶ τό γε ἔστιν ἐπιτήδειον, καὶ ἰσχὺν ἔχει καταργῆσαι τὸν ἐπιγάστριον βίον, οὗ πλοῦτός ἐστιν ἐκκλητικός, οὐ βλέπων ὀξύ, ἀλλ' ἡ τυφλώττουσα περὶ τὴν γαστριμαργίαν περιουσία. Οὐδείς δέ ἐστι πένης εἰς τὰ

Matt. xvii. 27.

1 Cor. x. 23.

XIV. 8. Ἔχοι] al. ἔχει.

11. ἄνθεσιν] Animis per Verbum irrigandis, quibus profutura esset ejusmodi allegoriæ suggestio. Observandum autem est quod hic loci fatetur, ne quamcunque allegoriam pro vera et genuina interpretatione habitam intelligas.

19. πασχητιώντων] Cf. S. Augustinum in Confessionibus, qui se Christianum factum haud omnino culpa liberum existimabat, hoc ipso, quod cibo interdum voluptatis causa uteretur, quanquam id non ex professo faceret, sed inter vescendum incautius aliquando provectus.

ἀναγκαῖα, οὐδὲ περιορᾶταί ποτε ἄνθρωπος· ὁ γὰρ καὶ τὰ πτηνὰ καὶ τὰ νηκτὰ καὶ συνελόντι εἰπεῖν τὰ ἄλογα ζῶα δια- Matt. vi. 26. τρέφων εἷς ἐστὶν ὁ Θεός. Λείπει δὲ αὐτοῖς οὐδὲ ἓν ὁτιοῦν μὴ μεριμνῶσι τροφῆς. Ἡμεῖς δὲ καὶ τούτων ἀμείνους, ὅσῳ καὶ κύριοι, καὶ Θεῷ οἰκειότεροι, ὅσῳ σωφρονέστεροι. Γεγόναμεν δὲ οὐχ ἵνα ἐσθίωμεν καὶ πίνωμεν, ἀλλ' ἵνα ὦμεν εἰς ἐπίγνωσιν γεγονότες τοῦ Θεοῦ. "Δίκαιος γὰρ," φησὶν, Prov. xiii. 25. "ἐσθίων ἐμπίμπλαται τῇ ψυχῇ, κοιλίαι δὲ ἀσεβῶν ἐνδεεῖς," ἀκαταπαύστου λιχνείας ὀρεγόμεναι. Πολυτέλεια δὲ οὐκ εἰς ἀπόλαυσιν ἔρημον, ἀλλ' εἰς μετάδοσιν κοινωνικὴν ἐπιτήδειος.

XV. Διὸ παραφυλακτέον τῶν βρωμάτων ἃ μὴ πεινῶντας ἡμᾶς ἐσθίειν ἀναπείθει, γοητεύοντα τὰς ὀρέξεις. Μὴ γὰρ οὐκ ἔνεστι καὶ ἐν εὐτελείᾳ σώφρονι πολυειδία ἐδεσμάτων ὑγιεινή; Βολβοὶ, ἐλαῖαι, λαχάνων ἔνια, γάλα, τυρὸς, τά τε ὡραῖα, ἑψήματά τε παντοδαπὰ ζωμῶν ἄνευ. Κἂν ὀπτοῦ δέῃ κρέως ἢ ἑφθοῦ, μεταδοτέον. "Ἔχετέ τι βρώσιμον ἐνθά- Luc. xxiv. 41—44. "δε;" εἶπεν ὁ Κύριος πρὸς τοὺς μαθητὰς μετὰ τὴν ἀνάστασιν· "οἱ δὲ" ἅτε ὑπ' αὐτοῦ εὐτέλειαν ἀσκεῖν δεδιδαγμένοι "ἐπέ- "δωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος,—καὶ φαγὼν ἐνώπιον αὐτῶν, "εἶπεν αὐτοῖς," φησὶν ὁ Λουκᾶς, ὅσα εἶπεν. Πρὸς τούτοις οὐδὲ τραγημάτων κηρίων ἀμοίρους περιορατέον τοὺς δειπνοῦντας κατὰ λόγον. Τῶν γάρτοι βρωμάτων ἐπιτηδειότατα, οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα πυρὸς, ἐπεὶ καὶ ἑτοιμότερα, δεύτερα δὲ τὰ εὐτελέστερα, ὡς προειρήκαμεν. Τῶν δὲ ἀμφὶ τὰς φλεγμαινούσας κυπταζόντων τραπέζας, τὰ σφέτερα τιθηνουμένων πάθη, δαίμων καθηγεῖται λιχνότατος, ὃν ἔγωγε οὐκ ἂν αἰσχυνθείην κοιλιοδαίμονα προσειπεῖν καὶ δαιμόνων κάκιστον καὶ ἐξωλέστατον. Παραπλήσιος οὖν οὗτος ἀτεχνῶς τῷ ἐγγαστριμύθῳ καλουμένῳ. Ἄμεινον δὲ πολλῷ τοῦ δαίμονα ἔχειν σύνοικον εὐδαίμονα γενέσθαι. Εὐδαιμονία δὲ ἐν χρήσει ἀρετῆς ἐξετάζεται.

XV. 5. ζωμῶν] Jus e carnibus excoctum improbat, quamvis carnis ipsius usum, simpliciter adhibitæ, quibusdam quasi necessariam concedat.

11. κηρίων] al. καὶ κηρίων.

21. ἐξετάζεται] Confer Aristotelem Eth. Nicom. l. 1. c. 8, 9, 10.

XVI. Ματθαῖος μὲν οὖν ὁ ἀπόστολος σπερμάτων καὶ ἀκροδρύων καὶ λαχάνων ἄνευ κρεῶν μετελάμβανεν, Ἰωάννης δὲ Matt. iii. 4. ὑπερτείνας τὴν ἐγκράτειαν "ἀκρίδας καὶ μέλι" ἤσθιεν ἄγριον. Act. x. 10—15. Ὑῶν δὲ ἀπείχετο καὶ Πέτρος· ἀλλ' "ἔπεσεν ἐπ' αὐτὸν ἔκ- "στασις," ὡς ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων γέγραπται, "καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον καί τι σκεῦος τέτταρσιν "ἀρχαῖς ἐκδεδεμένον ἐπὶ τῆς γῆς, πάντα τὰ τετράποδα καὶ τὰ "ἑρπετὰ τῆς γῆς καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ ἐν αὐτῷ, καὶ ἐγέ- "νετο φωνὴ πρὸς αὐτὸν, Ἀνάστα καὶ θῦσον καὶ φάγε. Πέτρος "δὲ εἶπε· Μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ "ἀκάθαρτον. Καὶ ἡ φωνὴ πάλιν πρὸς αὐτὸν ἐκ δευτέρου· Ἃ ὁ "Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου." Καὶ ἡμῖν δὲ ἄρα ἀδιάφορος Matt. xv. 11. ἡ χρῆσις. "Οὐ γὰρ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν "ἄνθρωπον," ἀλλὰ ἡ περὶ τῆς ἀκρασίας διάληψις κενή. Ὁ Gen. ix. 3. γάρτοι Θεὸς τὸν ἄνθρωπον πλάσας "πάντα ὑμῖν," εἶπεν, Prov. xv. 17. "ἔσται εἰς βρῶσιν." "Λάχανα δὲ μετὰ ἀγάπης ἢ μόσχον "μετὰ δολιότητος·" εὖ τοῦτο ὑπομιμνήσκει τοῦ προειρημένου λόγου, ὡς οὐ τὰ λάχανα ἡ ἀγάπη, μετὰ δὲ ἀγάπης τὰ δεῖπνα παραληπτέα, ἐν οἷς ἀγαθὴ μὲν ἡ μέση κατάστασις, ἐν πᾶσι μὲν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῇ ἀμφὶ τὴν ἑστίασιν παρασκευῇ, ἐπεὶ αἱ μὲν ἀκρότητες σφαλεραὶ, αἱ μεσότητες δὲ ἀγαθαί. Μέσον δέ ἐστι πᾶν τὸ ἀνενδεὲς τῶν ἀναγκαίων, αἱ γὰρ κατὰ φύσιν ὀρέξεις αὐταρκείᾳ περιορίζονται.

XVII. Ἰουδαίοις δὲ διὰ τοῦ νόμου οἰκονομικώτατα παραγγέλλεται ἡ εὐτέλεια· μυρίων γὰρ ὅσων ἀφείλετο τὴν χρῆσιν ὁ παιδαγωγὸς αὐτοὺς διὰ Μωϋσέως αἰτίας προσάπτων, κεκρυμμένας μὲν τὰς πνευματικὰς, ἐμφανεῖς δὲ τὰς σαρκικὰς, αἷς καὶ πεπιστεύκασι, τοῖς μὲν ὅτι οὐκ ἔστι διχηλὰ, τοῖς δὲ ὅτι τὴν τροφὴν οὐ μηρυκᾶται, τὰ δ' ὅτι ἄρα οὐκ ἔχει μόνα τῶν ἐνύδρων λεπίδας, ὡς ὀλίγα παντελῶς ἀπολείπεσθαι πρὸς τὴν τροφὴν αὐτοῖς ἐπιτήδεια. Ὧν δὲ ἐφῆκεν ἅπτεσθαι, πάλιν κεκώλυκε τούτων τὰ θνηξιμαῖα, τά τε εἰδωλόθυτα, τά τε ἀπο-

14. ἀκρασίας] Censet Potterus legendum esse ἀκαθαρσίας, quo pacto certe melius intelligi possit, nempe ita conscientiam inquinari, siquis immundum ratus comederit.

πεπνιγμένα. Οὐδὲ γὰρ τούτων ψαύειν θέμις. Ἐπεὶ γὰρ ἀμήχανον χρώμενον τοῖς ἡδέσιν ἀποστῆναι τῆς ἀποδοχῆς αὐτῶν, τὴν ἐναντίαν ἀντέθηκεν ἀγωγὴν, μέχρις ἂν ἐκλύσῃ τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν ἡδυπάθειαν καταδρομήν. Ἀνθρώποις δὲ τὰ μὲν πολλὰ βλάβην καὶ λύπην ἐνεγέννησεν ἡδονὴ, δυσπάθειαν δὲ καὶ λήθην καὶ ἀφροσύνην ἡ πολυτροφία ἐντίκτει τῇ ψυχῇ. Εὐαυξῆ δὲ καὶ τῶν παίδων τὰ σώματα γίνεσθαί φασιν εἰς μῆκος ἐπιδιδόντων ἀπὸ τῆς ἐλλειπούσης τροφῆς· οὐ γὰρ κωλύεται τὸ ἀνατρέχον εἰς αὔξησιν πνεῦμα τῆς πολλῆς τροφῆς ἀντιφραττούσης τὸ εὔπνουν τοῦ δρόμου.

XVIII. Ὅθεν κατηγορῶν τοῦ τρυφῶντος βίου ὁ τὴν ἀλήθειαν ἐζηλωκὼς τῶν φιλοσόφων Πλάτων, τὸ ἔναυσμα τῆς Ἑβραϊκῆς φιλοσοφίας ζωπυρῶν, ἐλθόντα δέ με, φησὶν, ὁ ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων, Ἰταλικῶν τε καὶ Συρακουσίων τραπεζῶν πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε, δὶς τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ μηδέποτε μόνον κοιμώμενον νύκτωρ, καὶ ὅσα τούτῳ ἐπιτηδεύματα συνέπεται τῷ βίῳ· ἐκ γὰρ τούτων οὔτ' ἂν φρόνιμος οὐδείς ποτ' ἂν γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων δύναιτο, ἐκ νέου ἐπιτηδεύων τοιαῦτα, οὐχ οὕτω θαυμαστῇ φύσει κραθήσεται. Οὐ γὰρ ἄπυστος
ἦν ὁ Πλάτων τοῦ Δαβὶδ, ὃς ἐν τῇ πόλει τῇ ἑαυτοῦ τὴν 2 Sam. vi.
ἁγίαν ἱδρύων κιβωτὸν ἐν μέσῃ τῇ σκηνῇ, παντὶ τῷ ὑπηκόῳ 17—19.
εὐφροσύνην ποιήσας λαῷ ἐναντίον τοῦ Κυρίου, διεμέρισεν "εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ—ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἑκάστῳ κολλυρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λάγανον ἀπὸ τηγάνου." Αὐτάρκης αὕτη ἡ τροφὴ καὶ Ἰσραηλιτικὴ, ἡ δὲ ἐθνικὴ περιττή. Σώφρων οὐδ' ἂν μελλήσαι ποτὲ γενέσθαι ὁ χρώμενος αὐτῇ, τὸν νοῦν ἐγκατορύξας τῇ κοιλίᾳ, τῷ ἰχθύϊ τῷ καλουμένῳ ὄνῳ τὰ μάλιστα ἐοικὼς, ὃν δή φησιν Ἀριστοτέλης μόνον τῶν ἄλλων ζώων ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔχειν. Τοῦτον ἐκτραπελόγαστρον Ἐπίχαρμος καλεῖ ὁ κωμικός.
Τοιοῦτοι τῶν ἀνθρώπων οἱ εἰς γαστέρα πεπιστευκότες, "ὧν Phil. iii. 19.

XVIII. 3. φησὶν] Plato Ep. vii.
20. τὴν καρδίαν] Hoc vero negant ita esse anatomici recentiores.

21. ἐκτραπελόγαστρον] Reddit Potterus, "qui ventrem habet a communi naturæ ordine alienum."

" Θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια " φρονοῦντες." Τούτοις οὐκ ἀγαθὰ προεθέσπιζεν ὁ ἀπόστολος " ὧν τὸ τέλος," εἰπὼν, " ἡ ἀπώλεια."

CAP. II.

Πῶς τῷ ποτῷ προσενεκτέον.

1 Tim. v. 23.

I. " Οἴνῳ δὲ ὀλίγῳ χρῶ," τῷ Τιμοθέῳ ὑδροποτοῦντι, " διὰ τὸν στόμαχόν σου," φησὶν ὁ ἀπόστολος, παγκάλως νοσηλευομένῳ καὶ πλαδῶντι σώματι κατάλληλον τὸ ἐπιστῦφον βοήθημα προσφέρων, ὀλίγον δὲ ἐκκρίνων τοῦτο, μὴ λάθῃ τὸ βοήθημα διὰ πλῆθος ἄλλης θεραπείας δεόμενον. Φυσικὸν μὲν οὖν καὶ νηφάλιον ποτὸν ἀναγκαῖον διψῶσίν ἐστιν ὕδωρ. Τοῦτο ἐκ τῆς ἀκροτόμου πέτρας κατειβόμενον τοῖς παλαιοῖς τῶν Ἑβραίων, μονότροπον σωφροσύνης ὁ Κύριος ἐχορήγει ποτὸν, νήφειν δὲ μάλιστα ἐχρῆν τοὺς ἐπιπλανωμένους. Ἔπειτα ἡ ἄμπελος ἡ ἁγία τὸν βότρυν ἐβλάστησε τὸν προφητικόν. Τοῦτο σημεῖον τοῖς εἰς ἀνάπαυσιν ἐκ τῆς πλάνης πεπαιδαγωγημένοις, ὁ μέγας βότρυς, ὁ Λόγος ὁ ὑπὲρ ἡμῶν θλιβεὶς, τοῦ αἵματος τῆς σταφυλῆς ὕδατι κίρνασθαι ἐθελήσαντος τοῦ Λόγου, ὡς καὶ τὸ αἷμα αὐτοῦ σωτηρίᾳ κίρναται. Διττὸν δὲ τὸ αἷμα τοῦ Κυρίου, τὸ μὲν γάρ ἐστιν αὐτοῦ σαρκικὸν, ᾧ τῆς φθορᾶς λελυτρώμεθα, τὸ δὲ πνευματικὸν, τουτέστιν ᾧ κεχρίσμεθα. Καὶ τοῦτ' ἔστι πιεῖν τὸ αἷμα τοῦ Ἰησοῦ, τῆς κυριακῆς μεταλαβεῖν ἀφθαρσίας· ἰσχὺς δὲ τοῦ λόγου τὸ πνεῦμα, ὡς αἷμα σαρκός.

II. Ἀναλόγως τοίνυν κίρναται ὁ μὲν οἶνος τῷ ὕδατι, τῷ δὲ ἀνθρώπῳ τὸ πνεῦμα, καὶ τὸ μὲν εἰς πίστιν εὐωχεῖ, τὸ κρᾶμα, τὸ δὲ εἰς ἀφθαρσίαν ὁδηγεῖ, τὸ πνεῦμα, ἡ δὲ ἀμφοῖν αὖθις κρᾶσις, ποτοῦ τε καὶ Λόγου, εὐχαριστία κέκληται, χάρις ἐπαινουμένη καὶ καλὴ, ἧς οἱ κατὰ πίστιν μεταλαμβάνοντες

I. 3. νοσηλευομένῳ] Confer S. Chrysostomum in Hom. 1. ad Pop. Ant. ubi de hoc loco plenius disseritur.

10. βότρυν] Racemi quidem nomine vix inveneris Christum apud Prophetas indicari, cum vero et vitem et vinum, et torcular possis invenire, racemum in istis intelligas.

ἁγιάζονται καὶ σῶμα καὶ ψυχὴν, τὸ θεῖον κρᾶμα, τὸν ἄνθρωπον, τοῦ πατρικοῦ βουλήματος Πνεύματι καὶ Λόγῳ συγκιρνάντος μυστικῶς· καὶ γὰρ ὡς ἀληθῶς μὲν τὸ Πνεῦμα ᾠκείωται τῇ ἀπ' αὐτοῦ φερομένῃ ψυχῇ, ἡ δὲ σὰρξ τῷ Λόγῳ, δι' ἣν ὁ Λόγος γέγονε σάρξ. Ἄγαμαι τοίνυν τοὺς αὐστηρὸν ἐπανῃρημένους βίον, καὶ τῆς σωφροσύνης τὸ φάρμακον ἐπιποθοῦντας τὸ ὕδωρ, φεύγοντας δὲ ὅτι μάλιστα πορρωτάτω τὸν οἶνον, οἷον πυρὸς ἀπειλήν. Ἀρέσκει οὖν τοὺς παῖδας καὶ τὰς κόρας ὡς ἐπὶ τὸ πλεῖστον ἀπέχεσθαι τοῦ φαρμάκου τούτου· οὐ γὰρ κατάλληλον ζεούσῃ ἡλικίᾳ τῶν ὑγρῶν τὸ θερμότατον ἐπεγχεῖν, τὸν οἶνον, οἱονεὶ πῦρ ἐποχετεύοντας πυρὶ, ἐξ οὗ ὁρμαί τε ἄγριαι καὶ φλεγμαίνουσαι ἐπιθυμίαι καὶ διάπυρον ἦθος ἐκκαίεται.

* * * * * *

III. Οἱ δὲ ἀκμάζοντες, μεθ' ἡμέραν μὲν ἀρίστου μεταλαβόντες, οἷς κατάλληλον τὸ ἄριστον, ἄρτου μόνον ἀπογευσάμενοι ἀπεχέσθων πάμπαν τοῦ ποτοῦ πρὸς τὸ ἀναπίνεσθαι τὴν περιττὴν ὑγρότητα αὐτῶν ἀνασπογγιζομένην ξηροφαγίᾳ. Καὶ γὰρ τὸ συνεχὲς πτύειν καὶ ἀπομύσσεσθαι καὶ περὶ τὰς ἐκκρίσεις σπεύδειν ἀκρασίας τεκμήριον ἐκ τῆς ἀμέτρου προσφορᾶς ὑπερχεομένων τῶν ὑγρῶν τῷ σώματι. Εἰ δὲ καὶ ἐπιγίνοιτο δίψα, ἀρκείσθω ὕδατι τὸ πάθος οὐ πολλῷ· οὐδὲ γὰρ ὕδατος ἀνέδην ἐμφορεῖσθαι καθήκει, ὡς μὴ ἐκκλύζοιτο ἡ τροφὴ, καταλεαίνοιτο δὲ εἰς πέψιν, καταταττομένων μὲν εἰς τὸν ὄγκον τῶν σιτίων, ὀλίγων δὲ παντάπασιν εἰς τὰς ἐκκρίσεις χωρούντων.

IV. Πρέπει δὲ καὶ ἄλλως ταῖς θεϊκαῖς φροντίσι μὴ οἰνοβαρεῖν· ὁ γὰρ ἄκρατος κατὰ τὸν κωμικὸν ὀλίγ' ἀναγκάζει φρονεῖν, μή τι δὲ οὐδὲ σωφρονεῖν. Εἰς δὲ ἑσπέραν, τοῦ

II. 6. κρᾶμα] Hominem gratiæ participem misturam appellat, quippe in quo ita habitet Deus ut membra hominis etiam Christi membra appellari possint.

III. 2. οἷς] Id est, *quibus convenit prandium*. Nonnulli enim tantummodo cœnabant. Cf. Archæologiæ Græcæ l. iv. c. 16. POTTER.

11 ὄγκον] Scil. ad ipsam corporis magnitudinem augendam vel sustinendam.

IV. 2. κωμικὸν] Intelligit Menandrum: ejus enim Stobæus, tit. 18. sermone de Incontinentia, hunc Iambum citat: ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν. POTTER.

δείπνου περὶ τὴν ὥραν, οἴνῳ χρηστέον, ἐπειδὰν μηκέτι τοῖς ἀναγνώσμασι σχολάζωμεν τοῖς νηφαλιωτέροις. Τὸ τηνικάδε δὲ ψυχρότερον καὶ τὸ περιέχον παρὰ τὸ μεθ' ἡμέραν γίγνεται, ὡς δεῖν ὑποτρέφειν τὴν ἐκλείπουσαν ἔμφυτον ἀλέαν ἐπεισάκτῳ θερμότητι, ὀλίγῳ δὲ τῷ οἴνῳ κἀνταῦθα, οὐ γὰρ μέχρι τῶν ὕβρεως προσιτέον κρατήρων. Τοῖς δὲ ἤδη παρηβηκόσιν ἱλαρώτερον ἐπιτρεπτέον μεταλαμβάνειν τοῦ ποτοῦ, τὸ καταψυχόμενον τῆς ἡλικίας, οἷον μαραινόμενον ὑπὸ χρόνου, ἀναζωπυροῦντας ἀβλαβῶς τῷ τῆς ἀμπέλου φαρμάκῳ· οὐδὲ γὰρ ὡς ἐπὶ πλεῖστον ἐγκυμαίνονται ἔτι τῶν πρεσβυτέρων αἱ ὀρέξεις περὶ τὰ τῆς μέθης ναυάγια· καθωρμισμένοι μὲν γὰρ οἷον ἀγκύραις τῷ λόγῳ καὶ τῷ χρόνῳ, τὴν ζάλην τῶν ἐπιθυμιῶν τὴν καταιγίζουσαν ἐκ μέθης ῥᾷον φέρουσιν, οἷς ἴσως καὶ χαριεντίσασθαί τι ἔξεστι παρὰ τὰς εὐωχίας. Ἀλλὰ καὶ τούτοις ὅρος ἔστω τοῦ ποτοῦ μέχρις οὗ τὸν λογισμὸν ἄσειστον διατηρήσωσι, καὶ τὴν μνήμην ἐνεργὸν, καὶ τὸ σῶμα ἀσάλευτον οἴνῳ καὶ ἀκράδαντον· ἀκροθώρακα τοῦτον καλοῦσιν οἱ περὶ ταῦτα δεινοί.

* * * * * *

Eph. v. 18. XI. Εἰκότως οὖν καὶ ὁ ἀπόστολος παραγγέλλει· "Μὴ "μεθύσκεσθε ἐν οἴνῳ, ᾧ ἐστὶν ἀσωτία πολλὴ," τὸ ἄσωστον τῆς μέθης διὰ τῆς ἀσωτίας αἰνιξάμενος. Εἰ γὰρ καὶ τὸ ὕδωρ οἶνον ἐν τοῖς γάμοις πεποίηκεν, οὐκ ἐπέτρεψε μεθύειν, τὸ δὲ ὑδαρὲς τοῦ φρονήματος ἐζωοποίησε τοῦ νόμου, τὸν ἐργάτην ἐξ Ἀδὰμ, τὸν κόσμον ὅλον αἵματι πληρώσας, ἀμπέλου ποτὸν ἀληθείας, τὸ κρᾶμα τοῦ νόμου τοῦ παλαιοῦ καὶ τοῦ λόγου τοῦ νέου εἰς συμπλήρωσιν τοῦ χρόνου τοῦ προκατηλλαγμένου θεοσεβείᾳ παρασχών. Μυστικὸν ἄρα σύμβολον ἡ γραφὴ αἵματος ἁγίου οἶνον ὠνόμασεν, τὴν δὲ ἐκ τοῦ
Prov. xx. 1. οἴνου ἑωλοκρασίαν διελέγχουσα, "Ἀκόλαστον οἶνος," φησὶ,

6. τὸ περιέχον] Aër *ambiens*.

20. ἀκροθώρακα] Clausulam hanc suspicantur quidam e margine in textum irrepsisse. Citatur Aristoteles 3 Probl. 2. vocabulo eodem in malam partem usus. Nihil tamen usitatius quam ut eodem nomine sobrii adhuc sobrios, ebriosi temulentos significent.

XI. 6. ἐξ] Al. τὸν ἐξ. Omisso articulo intelligi posset totum hunc mundum ex Adamo laborandi initium sumpsisse.

“καὶ ὑβριστικὸν μέθη.” Ἀρέσκει τοίνυν τῷ λόγῳ τῷ ὀρθῷ, χειμῶνος μὲν διὰ τὸ κρύος πίνειν μέχρι τοῦ μὴ ῥιγοῦν, οἷς εὐχερὲς τὸ ῥιγοῦν, τοῦ δὲ ἄλλου καιροῦ διὰ τὴν τῶν ἐντοσθιδίων θεραπείαν. Ὡς γὰρ τροφαῖς ἐπὶ τὸ μὴ πεινῆν, οὕτως καὶ ποτῷ ἐπὶ τὸ μὴ διψῆν χρηστέον, παραφυλάττοντας τὸν ὄλισθον ἀκριβῶς· ἀκροσφαλὴς γὰρ ἡ τοῦ οἴνου παρείσδυσις. Οὕτω δ᾽ ἂν καὶ ἡ ψυχὴ ἡμῶν ὑπάρξαι καθαρὰ καὶ ξηρὰ καὶ φωτοειδής. Αὐγὴ δὲ ψυχὴ, ξηρὰ, σοφωτάτη καὶ ἀρίστη· ταύτῃ δὲ καὶ ἐποπτικὴ, οὐδὲ ἔστι κάθυγρος ταῖς ἐκ τοῦ οἴνου ἀναθυμιάσεσι, νεφέλης δίκην σωματοποιουμένη.

XII. Οὐ πολυπραγμονητέον τοίνυν τὸν οἶνον τὸν Χῖον, ἂν ἀπῇ, οὐδὲ τὸν Ἀριούσιον, ὅταν μὴ παρῇ. Δίψα γὰρ ἐνδείας τινός ἐστι πάθος, καὶ τὸ κατάλληλον ἐπιζητεῖ βοήθημα πρὸς ἀναπλήρωσιν, οὐ τετυφωμένον ποτόν. Πλαδώσης δὲ ὀρέξεως δι᾽ ἀκρασίαν αἱ διαπόντιοι οἰνηγίαι, παραφρονούσης καὶ πρὸ τῆς μέθης περὶ τὰς ἐπιθυμίας τῆς ψυχῆς. Θάσιός τε γὰρ ὁ εὐώδης, καὶ ὁ εὔπνους Λέσβιος, καὶ Κρής τις γλυκὺς, καὶ Συρακούσιος ἡδὺς, καὶ Μενδήσιός τις Αἰγύπτιος, καὶ ὁ νησιώτης Νάξιος, καὶ ἀνθοσμίας τις ἄλλος τῆς Ἰταλῶν γῆς —πολλὰ ταῦτα ὀνόματα—σώφρονι συμπότῃ οἶνος εἷς, ἑνὸς γεώργιον Θεοῦ. Τί γὰρ οὐκ ἀπόχρη ὁ ἐπιχώριος ἀποπληρῶσαι τὴν ἐπιθυμίαν; εἰ μή τι καὶ τὸ ὕδωρ ἐποίσονται, ὡς οἱ βασιλεῖς οἱ ἀνόητοι. Χόασπις ποταμὸς οὕτω λεγόμενος τῆς Ἰνδικῆς, οὗ κάλλιστον ὕδωρ εἰς πόσιν τὸ Χοάσπιον, καθάπερ καὶ τοὺς φίλους, οὕτω δὲ καὶ τὸ ὕδωρ ἐπαγόμενον. Ταλανίζει τοὺς πλουσίους εἰς τρυφὴν κἀνταῦθα τὸ ἅγιον Πνεῦμα, διὰ τοῦ Ἀμὼς ἐκφωνῆσαν· “οἱ πίνοντες τὸν διυλισμέ- Amos vi. 6,
“νον οἶνον,—καὶ ἐπὶ κλίνης ἐλεφαντίνης,” φησὶ, “κατακείμε- 4.
“νοι,”—καὶ ὅσα τούτοις ἀκόλουθα ἐν ὀνείδους ἐπήγαγεν μέρει.

* * * * * *

CAP. III.

Ὅτι οὐ χρὴ περὶ τὴν πολυτέλειαν τῶν σκευῶν ἐσπουδακέναι.

I. Ἐκπωμάτων τοίνυν ἀργύρου καὶ χρυσοῦ πεποιημένων λιθοκολλήτων τε ἄλλων ἄθετος ἡ χρῆσις, ὄψεως ἀπάτη

19. Αὐγὴ] Al. αὕη. XII. 15. φίλους] Regios scilicet consiliarios.

μόνον· εἴτε γὰρ αὐτοῖς ἐγχέαι τις θερμοῦ κράματος, διαπυρουμένων τῶν σκευῶν ἐπώδυνος ἡ λῆψις, εἴτε αὖ ψυχρὸν πάλιν ἐγχέαι, μεταδίδωσι τῆς ποιότητος ἡ ὕλη, λυμαινομένη τὸ κρᾶμα. Καὶ ἔστιν ἐπιβλαβὴς ἡ πόσις ἡ πλουσία. Ἐρρέτων τοίνυν Θηρίκλειοί τινες κύλικες, καὶ Ἀντιγονίδες, κάνθαροί τε, καὶ Λαβρώνιοι, καὶ λεπασταὶ, καὶ τῶν ἐκπωμάτων εἴδη τὰ μυρία, ψυκτῆρές τε ἐπὶ τούτοις καὶ οἰνοχόαι· χρυσός τε γὰρ ἁπαξαπλῶς καὶ ἄργυρος ἰδίᾳ τε καὶ δημοσίᾳ ἐστὶν ἐπίφθονον κτῆμα, τὴν χρείαν ὑπερβεβηκὸς, κτήσασθαί τε σπάνιον, καὶ τηρῆσαι δύσκολον, καὶ οὐκ ἐπιτήδειον χρήσασθαι. Ναὶ μὴν καὶ τορευτῶν περίεργος ἐφ' ὑέλῳ κενοδοξία, εἰς θραῦσιν διὰ τέχνης ἑτοιμοτέρα, δεδιέναι τε ἅμα καὶ πίνειν διδάσκουσα, περιοριστέα τῆς εὐνομίας ἡμῶν. Κλιντῆρες δὲ ἀργυροῖ, καὶ λεκάναι, καὶ ὀξύβαφα, καὶ πινακίσκοι, καὶ τρύβλια, πρὸς ἐπὶ τούτοις σκεύη ἀργυρᾶ τε καὶ χρυσᾶ, τὰ μὲν εἰς διακονίαν τροφῆς, τὰ δὲ καὶ εἰς ἄλλας τινὰς, αἰσχύνομαι καὶ λέγειν, χρείας, κέδρου τ' εὐκεάτοιο, καὶ θύου, καὶ ἐβένου, καὶ ἐλέφαντος τρίποδες ἠσκημένοι, κλῖναί τε ἀργυρόποδες καὶ ἐλεφαντοκόλλητοι, χρυσόστικτοί τε καὶ χελώνης πεποικιλμέναι κοίτης κλισιάδες, στρωμναί τε ἁλουργεῖς καὶ ἄλλων χρωμάτων δυσποριστων, ἀπειροκάλου τρυφῆς τεκμήρια, φθόνου καὶ βλακείας ἐπίβουλα πλεονεκτήματα, παραπεμπτέα ἅπαντα,
1 Cor. vii. 29. οὐδ' ἥντινοῦν ἀξιόλογον ἔχοντα σπουδήν. "Ὁ" γὰρ "καιρὸς "συνεσταλμένος ἐστὶν," ὥς φησιν ὁ ἀπόστολος. Τοῦτο ὑπολείπεται, μὴ γελοίως σχηματισθῆναι, καθάπερ ἐν ταῖς πομπαῖς ὁρῶνταί τινες ἔξωθεν κεχρισμένοι καταπληκτικῶς εἰς σεμνότητα, τὰ ἔνδον ἄθλιοι.

Ib. 29, 30. II. Τοῦτο δὴ διασαφῶν ἀκριβέστερον ἐπήγαγεν· "Λοιπόν "ἐστιν ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν,—καὶ "οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες." Εἰ δὲ ἐπὶ γάμου
Gen. i. 28. ταῦτα, ἐφ' οὗ φησὶν ὁ Θεὸς, "πληθύνεσθε," πῶς οἴεσθε τὴν ἀπειροκαλίαν μὴ ἐξ αὐθεντείας κυριακῆς ἐξοριστέαν; Διὰ

I. 19. κέδρου] Ex Homeri Odyss. ε'. ver. 60. de domo Calypsus.

Τηλόθι δ' ὀδμὴ
Κέδρου τ' εὐκεάτοιο, θύου τ', ἀνὰ νῆσον ὀδώδει
Δαιομένων. POTTER.

II. 5. αὐθεντείας] Ex Ipsius Domini præcepto. Illud enim Apostolus

τοῦτο καὶ "πώλησόν σου τὰ ὑπάρχοντα," λέγει ὁ Κύριος Matt. xix. 21.
"καὶ πτωχοῖς δὸς,—καὶ δεῦρο ἀκολούθει μοι," ἕπου τῷ Θεῷ γυμνὸς ἀλαζονείας, γυμνὸς ἐπικήρου πομπῆς, τὸ σὸν, τὸ ἀγαθὸν, τὸ ἀναφαίρετον μόνον, τὴν εἰς τὸν Θεὸν πίστιν, τὴν εἰς τὸν παθόντα ὁμολογίαν, τὴν εἰς ἀνθρώπους εὐεργεσίαν κεκτημένος, κτῆμα τιμαλφέστατον. Ἐγὼ δὲ καὶ Πλάτωνα ἀποδέχομαι ἄντικρυς νομοθετοῦντα, ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἀσκεῖν ἔχειν, ἀλλὰ μήτε σκεῦος ἀχρεῖον ὃ μὴ μετὰ τῆς ἀναγκαίας χρήσεως καὶ μέτριόν ἐστιν, ὡς εἰς πολλὰ τὸ αὐτὸ εὔθετον εἴη, καθαιροῖτο δὲ ἡ πολυκτημοσύνη. Παγκάλως γοῦν ἡ θεία πού λέγει γραφὴ, πρὸς τοὺς φιλαύτους καὶ ἀλαζόνας ἀποτεινομένη· "ποῦ εἰσὶν οἱ ἄρχοντες τῶν Baruch iii. 16—19.
"ἐθνῶν, καὶ οἱ κυριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, οἱ ἐν "τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, οἱ τὸ ἀργύριον θησαυ"ρίζοντες καὶ τὸ χρυσίον, ᾧ ἐπεποίθεισαν ἄνθρωποι, καὶ οὐκ "ἔστι τέλος τῆς κτήσεως αὐτῶν, οἱ τὸ ἀργύριόν τε καὶ τὸ "χρυσίον τεκταίνοντες καὶ μεριμνῶντες; Οὐκ ἔστιν ἐξεύρεσις "τῶν ἔργων αὐτῶν· ἠφανίσθησαν καὶ εἰς Ἅιδου κατέβησαν."

III. Οὗτος τῆς ἀπειροκαλίας ὁ μισθός. Εἰ γάρτοι γεωργοῦσιν ἡμῖν δικέλλης ἐστὶ χρεία καὶ ἀρότρου, μακέλλην δ' οὐκ ἄν τις ἀργυρᾶν οὐδὲ ἄμην χρυσῆν χαλκεύοι, τῷ δὲ εὐεργῷ τῆς ὕλης οὐ πλουσίως εἰς γεηπονίαν συγχρώμεθα· τί κωλύει καὶ περὶ τὰ σκεύη τὰ ἐνοικίδια τὴν αὐτὴν ἔχειν διάνοιαν τοὺς τοῦ ὁμοίου θεωρητικούς; Ὧν μέτρον ἡ χρεία, μὴ ἡ πολυτέλεια γινέσθω. Τί γὰρ, εἰπέ μοι, τὸ μαχαίριον τὸ ἐπιτραπέζιον, ἢν μὴ ἀργυρόηλον ᾖ ἢ ἐξ ἐλέφαντος πεποιημένον τὴν λαβήν; Οὐ τέμνει; Ἢ ἐπὶ τὴν μοῖραν τοῦ κρέως Ἰνδικὸν σίδηρον χαλκευτέον, καθάπερ συμμαχικόν τι παρακαλοῦν-

monuerat, hoc vero ex ore Ipsius accepimus. Non tamen ita præceptum intelligit S. Clemens ut nemini liceat bona terrestria possidere, sed ut appareat Christiano indignum esse istiusmodi rebus vacare. Plura de hac re videas in opere cui titulus 'Quis dives salvetur?'

12. *νομοθετοῦντα.* Reipublicæ scilicet custodibus. L. iii. fin.

13. *ἔχειν*] om. Pot.

III. 4. *πλουσίως*] Unus MS. *πλησίως*. Scribi possit *πλουσίῳ*, ut respondeat *τῷ εὐεργῷ*. POTTER. Quod quidem haud improbabile, mallem vero *τῷ πλουσίῳ*. Nescio an ita exponi possit *πλουσίως* ut usus frequentiam significet.

9. *μοῖραν*] *Divisionem.*

τας; Τί δέ; Εἰ κεραμεοῦν εἴη τὸ χερνίβιον, οὐ δέξεται τὸ ἀπόνιμμα τῆς χειρός; Οὐδὲ ὁ ποδονιπτὴρ τὸ ἀπόνιμμα τοῦ ποδός; Ἀναξιοπαθήσει δὲ ἄρα καὶ ἡ τράπεζα ἡ ἐξ ἐλέφαντος τοὺς πόδας ἐσκευασμένη ὀβολιαῖον ἄρτον βαστάζουσα; Οὐδὲ μὴν ὁ λύχνος διακονήσει τὸ φῶς, ὅτι κεραμέως, οὐ χρυσοχόου ἔργον ἐστίν; Ἐγὼ δέ φημι καὶ τοὺς σκίμποδας οὐδὲν κακίω παρεχομένους κατάκλισιν τῆς ἐλεφαντίνης κλίνης, τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι, ὥστε μὴ δεῖσθαι φοινικίδων ἢ πορφυρίδων, κατεγνῶσθαι ὅμως τῆς εὐτελείας δι' ἀβελτερίαν ἀρχεκάκου τρυφῆς.

IV. Τίς ἡ τοσαύτη πλάνη, τίς ἡ δοξοκαλία, ὁρᾶτε. Ὁ Κύριος τρυβλίῳ ἐπωψᾶτο εὐτελεῖ, καὶ κατέκλινεν τοὺς μαθητὰς ἐπὶ τῆς πόας χαμαί· καὶ τοὺς πόδας ἔνιπτεν αὐτῶν σαβάνῳ περιζωσάμενος ὁ ἄτυφος Θεὸς καὶ Κύριος τῶν ὅλων, οὐκ ἀργυροῦν δὴ ποδονιπτῆρα περιφέρων ἀπ' οὐρανοῦ. Καὶ τὴν Σαμαρεῖτιν ᾔτει πιεῖν σκεύει κεραμεῷ τοῦ φρέατος ἀνιμῶσαν, οὐκ ἐπιζητῶν τὸ βασιλικὸν χρυσίον, σβεννύναι δὲ τὸ δίψος εὐκόλως διδάσκων· σκοπὸν γὰρ τὴν χρείαν ἐτίθετο, οὐ τὴν ἀπειραγαθίαν. Ἤσθιεν δὲ καὶ ἔπινεν παρὰ τὰς εὐωχίας, οὐ γῆς ἐξορύττων μέταλλα, οὐδὲ ἀργύρου καὶ χρυσοῦ, τοῦτ' ἔστιν ἰοῦ προσόζουσι, σκευαρίοις χρώμενος, οἷον ἀναπνεῖ τῆς τετυφωμένης ὕλης ὁ ἰός. Καθόλου γὰρ καὶ τὰς τροφὰς, καὶ τὰς ἐσθῆτας, καὶ τὰ σκεύη, καὶ τἄλλα πάντα τὰ κατὰ τὸν οἶκον συλλήβδην λέγω, ἀκόλουθον εἶναι ταῖς ἐνστάσεσιν τοῦ Χριστιανοῦ δεῖ, κατὰ τὸ πρόσφορον οἰκειούμενον τῷ προσώπῳ, τῇ ἡλικίᾳ, τῇ ἐπιτηδεύσει, τῷ καιρῷ. Ἑνὸς γὰρ ὄντας θεράποντας Θεοῦ, χρὴ καὶ τὰ κτήματα καὶ τὰ ἐπ' αὐτοῖς ἔπιπλα ἑνὸς ἐπιδείκνυσθαι σύμβολα βίου καλοῦ, καὶ τὸν καθ' ἕνα τῶν ἀνθρώπων ἀδιακρίτῳ πίστει, τῇ μονοπροσώπῳ ταύτῃ ἐνστάσει, τὰ ἑξῆς ἀκόλουθα καὶ σύμφωνα τῇ διαθέσει τῇ μιᾷ φαίνεσθαι ποιοῦντα. Ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς, καὶ χρώμενοι εὐκόλως ἐπαινοῦμεν, καὶ φυλάττομεν ῥᾳδίως, καὶ κοινωνοῦμεν εὐκόλως αὐτῶν. Ἀμείνω δὲ τὰ χρή-

IV. 9. ἀπειραγαθίαν] Vid. Arist. Eth. IV. 2. ubi idem sonare videtur ἀπειροκαλία.

14. ἐνστάσεσιν] *Institutis.*

σιμα, βελτίω δὲ δήπουθεν τὰ εὐτελέστερα τῶν πλουσίων. Τὸ δὲ ὅλον ὁ πλοῦτος οὐκ ὀρθῶς κυβερνώμενος ἀκρόπολίς ἐστι κακίας, περὶ ὃν ὀφθαλμιῶντες οἱ πολλοὶ οὐκ ἄν ποτε εἰς τὴν βασιλείαν παρεισέλθοιεν τῶν οὐρανῶν, νοσοῦντες μὲν περὶ τὰ κοσμικὰ, ὑπερηφάνως δὲ ζῶντες διὰ τὰς τρυφάς.

IV. Χρὴ δὲ προειληφέναι τοὺς ἐπὶ σωτηρίᾳ σπεύδοντας ὡς ἄρα χρήσεως μὲν ἕνεκεν ἡ πᾶσα ἡμῶν κτῆσις, αὐταρκείας δὲ χάριν ἡ κτῆσις, ἣν καὶ ἐξ ὀλίγων ἄν τις περιποιήσαιτο. Μάταιοι γὰρ οἱ δι' ἀπληστίαν ἐπ' αὐτοῖς χαίροντες κειμηλίοις· "ὁ δὲ συνάγων τοὺς μισθοὺς," φησὶν, "συνήγαγεν εἰς "δεσμὸν τετρυπημένον." Hag. i. 6. Οὗτός ἐστιν ὁ συνάγων καὶ ἀποκλείων τὸν σπόρον καὶ ἐλαττούμενος, ὁ μηδενὶ μεταδιδούς. Χλεύη δὲ καὶ γέλως πλατὺς οὐροδόχας ἀργυρᾶς καὶ ἀμίδας ὑελᾶς ἐπιφέρεσθαι τοὺς ἄνδρας, καθάπερ ἐπάγονται τοὺς συμβούλους τοὺς ἑαυτῶν· * * Ηὐξάμην δ' ἂν αὐτοῖς παρ' ὅλον τὸν βίον σκυβάλων ἄξιον κρίνεσθαι τὸ χρυσίον. Νυνὶ δὲ ἡ ἀκρόπολις τῆς κακίας ἡ φιλαργυρία εὕρηται, ἣν ὁ ἀπόστολος "ῥίζαν ἀπάντων εἶναι τῶν κακῶν" φησὶν, "ἧς τινὲς ὀρεγόμε- 1 Tim. vi. 10. "νοι ἀπεπλανήθησαν τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν "ὀδύναις πολλαῖς." Πλοῦτος δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία, καὶ ἡ μεγαλοφροσύνη ἡ ἀληθὴς οὐ τὸ ἐπὶ πλούτῳ μεγαλοφρονεῖν, τούτου δὲ καταφρονεῖν. Τὸ δὲ ἐπὶ τοῖς σκεύεσι μεγαλαυχεῖν αἰσχρὸν κομιδῇ· οὐ γὰρ σπουδάζειν ἔτι περὶ τούτων πάνυ δίκαιον, ἃ καὶ ἐξ ἀγορᾶς τῷ βουλομένῳ ἔξεστιν ὠνήσασθαι, σοφία δὲ οὐκ ὠνητὴ νομίσματι γηΐνῳ, οὐδ' ἐν ἀγορᾷ ἀλλ' ἐν οὐρανῷ πιπράσκεται· καὶ πιπράσκεται νομίσματι δικαίῳ, τῷ Λόγῳ τῷ ἀφθάρτῳ, τῷ βασιλικῷ χρυσίῳ.

IV. 3. ἡ κτῆσις] Scribendum ἡ χρῆσις. POTTER. Quod tamen haud omnino necessarium videtur, cum possit αὐταρκεία intelligi χρήσεως αὐταρκεία.

S. CLEM. ALEXANDRINI

PÆDAGOGI LIB. III.

CAP. XII.

* * * * * *

1 Pet. i. 17, 18, 19, I. Ἐγνωκότες οὖν τὸ ἑκάστου ἔργον "ἐν φόβῳ τὸν τῆς "παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες ὅτι οὐ φθαρ-"τοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθημεν ἐκ τῆς ματαίας ἡμῶν "ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ
Ib. iv. 3. "ἀμώμου καὶ ἀσπίλου Χριστοῦ." "Ἀρκετὸς οὖν ὁ παρεληλυθὼς χρόνος," ὁ Πέτρος φησὶ, "τὸ βούλημα τῶν ἐθνῶν "κατειργάσθαι πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰ-"νοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρίαις." Ὅρον ἔχομεν τὸν σταυρὸν τοῦ Κυρίου, ᾧ περισταυρούμεθα καὶ περιθριγκούμεθα τῶν προτέρων ἁμαρτιῶν. Ἀναγεννηθέντες τοίνυν προσηλωθῶμεν ἐν τῇ ἀληθείᾳ, καὶ ἀνανήψωμέν
Ib. iii. 12, 13. τε καὶ ἁγιασθῶμεν, "Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, "καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ Κυρίου ἐπὶ "ποιοῦντας κακά. Καὶ τίς ὁ κακώσων ἡμᾶς, ἐὰν τοῦ "ἀγαθοῦ ζηλωταὶ γενώμεθα;" Ἡ δὲ ἀρίστη ἀγωγὴ εὐταξία ἐστὶ παντελὴς οὖσα εὐσχημοσύνη καὶ δύναμις τεταγμένη βεβαία, τῶν ἑξῆς ἀλλήλοις κειμένων ἐν ἔργῳ καλῶς ἀποδοτικὴ, κατ' ἀρετὴν ἀνυπέρβλητος.

I. 15. εὐταξία] Hujus virtutis similem huic definitionem tradunt Stoici apud Stobæum Ecl. Ethic. lib. 2. c. 4. p. 168. Εὐταξίαν δὲ ἐπιστήμην τοῦ πότε πρακτέον, καὶ τί μετὰ τί, καὶ καθόλου τῆς τάξεως τῶν πράξεων. POTTER.

II. Ταῦτα εἰ καὶ τραχύτερον προσηνέχθην, οἰκονομούμενος τῆς ἐπανορθώσεως τὴν σωτηρίαν, ἐμοὶ μὲν λελέχθων, φησὶν ὁ παιδαγωγὸς, ἐπειδὴ "ὁ ἐλέγχων μετὰ παρρησίας εἰρηνοποιεῖ," Prov. x. 10. ὑμεῖς δὲ εἰ μὲν ἀκούσεσθέ μου, σωθήσεσθε, εἰ δ' οὐ προσέξετε τοῖς εἰρημένοις, οὔ μοι μέλει, μέλει δὲ ὅμως καὶ οὕτως· τὴν γὰρ μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν θάνατον Ez. xviii. 23. αἱρεῖται. "Ἢν δὲ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς Es. i. 19. "φάγεσθε," ὁ παιδαγωγὸς πάλιν λέγει· γῆς ἀγαθὰ τὰ ἀνθρώπεια ὀνομάζων καλὰ, τὸ κάλλος, τὸν πλοῦτον, τὴν ὑγίειαν καὶ τὴν ἰσχὺν, τὴν τροφήν· ἀγαθὰ μὲν γὰρ ὄντως, "ἃ οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη ποτὲ," 1 Cor. ii. 9. περὶ τὸν ὄντως ὄντα βασιλέα, τὰ ὄντως ὄντα ἀγαθὰ ὄντα καὶ ἀναμένοντα ἡμᾶς· ἀγαθῶν γάρ ἐστι καὶ δοτὴρ καὶ φύλαξ, κατὰ μετουσίαν δὲ ἐκείνων τὰ τῇδε συνωνυμεῖ, παιδαγωγοῦντος ἐν Θεῷ τοῦ Λόγου τὴν τῶν ἀνθρώπων ἀσθένειαν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὴν νόησιν.

III. Ὅσα μὲν οὖν οἴκοι παραφυλακτέον, καὶ ὡς τὸν βίον ἐπανορθωτέον, ὁ παιδαγωγὸς ἡμῖν ἄδην διείλεκται· ἃ δ' οὖν καὶ κατὰ τὰς ὁδοὺς ὁμιλεῖν αὐτῷ φίλον τοῖς παιδίοις, ἄχρις ἂν ἀγάγῃ αὐτὰ πρὸς τὸν διδάσκαλον, ταῦτα δὲ ἡμῖν ἐν κεφαλαίου μέρει δι' αὐτῶν ὑποτίθεται καὶ παρατίθεται τῶν γραφῶν, γυμνὰς παρατιθέμενος τὰς παραγγελίας, ἁρμοζόμενος μὲν τῷ χρόνῳ τῆς καθοδηγήσεως, τὰς δὲ ἐξηγήσεις αὐτῶν ἐπιτρέπων τῷ διδασκάλῳ· καὶ γὰρ ὁ νόμος αὐτοῦ τὸν φόβον ὑπεκλύειν βούλεται, τὸ ἑκούσιον ἐλευθερώσας εἰς πίστιν. Ἄκουε, φησὶν, ὦ παιδίον καλῶς παιδαγωγούμενον, τὰ κεφάλαια τῆς σωτηρίας, γυμνώσω γὰρ τὸ ἦθος τὸ ἐμαυτοῦ καί σοι ταύτας καλὰς ἐντολὰς ὑποθήσομαι, δι' ὧν ἀφίξῃ πρὸς σωτηρίαν. Ἄγω δέ σε τὴν ὁδὸν τὴν σωτήριον. Ἀπόστα τῶν τῆς πλάνης ὁδῶν, "ὅτι Κύριος γινώσκει ὁδὸν δικαίων, Ps. i. 6. "καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται." Ἕπου τοίνυν, ὦ παιδίον, τὴν ἀγαθὴν ὁδὸν, ἣν ἄν σοι ἐξηγήσωμαι, τὰ ὦτά μοι ὑποσχὼν

II. 1. προσηνέχθην] Potter. προηνέχθην.

III. 4. διδάσκαλον] Hic Doctorem a Pædagogo distinguit, hunc infantibus illum adultis proprium significans.

15. Ἕπου] *Sequere*, scil. Pædagogum.

Es. xlv. 3. τὰ ἀκουστικά, "καὶ δώσω σοὶ θησαυροὺς σκοτεινούς, ἀποκρύ-
"φους, ἀοράτους" ἔθνεσιν, ἡμῖν δὲ ὁρατούς· σοφίας δὲ θη-
Rom. xi. 33. σαυροὶ ἀνέκλειπτοι, οὓς θαυμάζων ὁ Ἀπόστολος, "ὦ βάθος,"
φησί, "πλούτου καὶ σοφίας." Θησαυροὶ δὲ ὑφ' ἑνὸς πολλοὶ
χορηγούμενοι Θεοῦ, οἱ μὲν διὰ τοῦ νόμου, οἱ δὲ διὰ τῶν προ-
φητῶν ἀποκαλύπτονται, οἱ δὲ τῷ Θείῳ στόματι, ἄλλος δὲ
τοῦ πνεύματος τῇ ἑπτάδι ἐπᾴδων, εἷς δὲ ὢν ὁ Κύριος διὰ
πάντων τούτων ὁ αὐτός ἐστι παιδαγωγός.

IV. Ἔστιν μὲν οὖν αὐτόθεν κεφαλαιώδης ὑποθήκη, καὶ
Luc. vi. 31. βιωτικὴ παραίνεσις, πάντα ἐμπεριέχουσα· "καθὼς θέλετε ἵνα
"ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ποιεῖτε καὶ ὑμεῖς αὐτοῖς." Δυνα-
τὸν δὲ καὶ διὰ δυεῖν ἐμπεριλαβεῖν τὰς ἐντολάς, ὥς φησιν ὁ
Luc. x. 27. Κύριος· "Ἀγαπήσεις τὸν Θεόν σου ἐν ὅλῃ καρδίᾳ σου καὶ ἐν
"ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σου,—καὶ τὸν πλη-
Matt. xxii. 40. "σίον σου ὡς σεαυτόν." Εἶτα ἐκ τούτων ἐπιφέρει· "ἐν
"τούτῳ ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται." Ναὶ
Luc. xviii. 18—20. μὴν καὶ πρὸς τὸν πυθόμενον, "Τί ποιήσας ζωὴν αἰώνιον κλη-
"ρονομήσω; Τὰς ἐντολὰς οἶδας;" ἀπεκρίνατο· τοῦ δὲ
Luc. x. 28. καταφήσαντος, "τοῦτο ποίει," φησί, "καὶ σωθήσῃ." Οὐ
μὴν ἀλλὰ καὶ διαιρετικώτερον τὸ φιλάνθρωπον τοῦ παιδα-
γωγοῦ διὰ τῶν ποικίλων καὶ σωτηρίων ἐντολῶν παραθετέον,
ὡς ἔχοιμεν πρὸς ἀφθόνου σωτηρίας καὶ τῆς διατάξεως τῶν
γραφῶν ἑτοιμοτέραν τὴν εὕρεσιν.

V. Ἔστιν ἡμῖν ἡ δεκάλογος ἡ διὰ Μωϋσέως, ἁπλῷ καὶ
μονογενεῖ αἰνιττομένη στοιχείῳ, προσηγορίαν σωτήριον ἁμαρ-
Ex. xx. Deut. v. τιῶν περιγράφουσα· "οὐ μοιχεύσεις, οὐκ εἰδωλολατρήσεις,"
οὐ παιδοφθορήσεις, "οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις· τίμα

18. ἡμῖν] Ita S. Paulus de *mysteriis*, Eph. iii. 4, 5.

23. ἑπτάδι] Nempe septem donis S. Spiritus, quæ enumerantur Esai. xi. 2, 3. POTTER.

IV. 2. βιωτική] *Ad vitam pertinens.* Frequentius usurpatur de vita tantum præsenti.

V. 2. στοιχείῳ] Nempe τῷ ι'. Sic apud Philonem, Basilium, Gregorium, Cyrillum, alios, ut in Philone adnotat *H. Sylburg*. Nicetas in Gregorii Nazianz. Orat. 42. "Decas autem, prima unitas perfecta, et generatrix perfectionis dicitur: quoniam est alia quoque unitas, nempe prima unitas: verum illa, tametsi principium numerorum est, eosque procreat, nequaquam tamen perfecta est; at prima decas has duas prærogativas habet; alteram, quod perfecta est; quatenus ad hanc usque numeri progrediuntur, ac rursus revolvuntur; alteram quod perfectionis est pro-

“τὸν πατέρα σου καὶ τὴν μητέρα σου,” καὶ τὰ ἀκόλουθα τούτοις. Ταῦτα ἡμῖν παραφυλακτέον, καὶ ὅσα ἄλλα κατὰ τὰς ἀναγνώσεις τῶν βιβλίων παραγγέλλεται. Παραγγέλλει δὲ καὶ διὰ Ἡσαΐου· “Λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέ- Es. i. 16—18. “λετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφ- “θαλμῶν μου,—μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύ- “σασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν, “καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει Κύριος.” Πολλὰς δ' ἂν καὶ παρὰ τοῖς ἄλλοις εὕροιμεν ὑποθήκας, οἷον φέρε, εὐχῆς μὲν πέρι, “τὰ ἔργα τὰ ἀγαθὰ,” φησὶν, “εὐχὴ Κυρίῳ δεκτὴ,” λέγει ἡ γραφή. Καὶ ὁ τρόπος τῆς εὐχῆς ὑπαγορεύεται· “ἐὰν δὲ ἴδῃς,” φησὶ, “γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων Es. lviii. 7, 8. “τοῦ σπέρματός σου οὐχ ὑπερόψει, τότε ῥαγήσεται πρώϊ- “μον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ “προπορεύσεται ἔμπροσθεν ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ “Θεοῦ περιστελεῖ σε.” Τίς οὖν ὁ καρπὸς τῆς εὐχῆς ταύτης; “Τότε ἐπιβοήσῃ καὶ ὁ Θεὸς ὑπακούσεταί σου, ἔτι λαλοῦντός Ib. 9. “σου ἐρεῖ, ἰδοὺ πάρειμι.”

VI. Περὶ δὲ νηστείας, “ἵνα τί μοι,” φησὶ, “νηστεύετε;” Ib. 4—7. λέγει Κύριος. “Οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, “καὶ ἡμέραν ἄνθρωπον ταπεινοῦν τὴν ψυχὴν αὐτοῦ; οὐδ' ἂν “κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου καὶ σάκκον καὶ σποδὸν “ὑποστρώσῃ, οὐδ' οὕτως καλέσετε νηστείαν δεκτήν.” Τί οὖν αἰνίττεται ἡ νηστεία; “ἰδοὺ αὕτη,” φησὶν, “ἡ νηστεία, “ἣν ἐγὼ ἐξελεξάμην, λέγει Κύριος· λύε πάντα σύνδεσμον “ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπό- “λυε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν ἄδικον συγγραφὴν “διάσπα. διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς “ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνὸν, πε- Es. i. 11—13. “ρίβαλε.” Ναὶ μὴν καὶ περὶ τῶν θυσιῶν· “Τί μοι πλῆθος

creatrix; centenarium enim numerum, qui perfectissimus est, producit.” Alibi etiam Clemens hanc literam refert ad nomen Jesu. Conf. Pædag. lib. 2. cap. 4. p. 165. edit. Paris. POTTER.

14. τὰ ἔργα] Hæc verba nullibi reperio. Eorum sensus occurrit Philip. iv. 18. Hebr. xiii. 16. &c. POTTER. Adde Jac. i. 27.

" τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος. Πλήρης εἰμὶ ὁλοκαυ-
" τωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ
" ἐρίφων οὐ βούλομαι, οὐδ᾽ ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς
" γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν μου τὴν
" αὐλὴν οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον
" θυμίαμα βδέλυγμά μοι ἐστίν· τὰς νουμηνίας ὑμῶν καὶ τὰ
" σάββατα οὐκ ἀνέχομαι." Πῶς οὖν θύσω τῷ Κυρίῳ;
Ps. li. 17. " Θυσία," φησὶν, " τῷ Κυρίῳ πνεῦμα συντετριμμένον." Πῶς
οὖν στέψω ἢ μύρῳ χρίσω; ἢ τί θυμιάσω τῷ Κυρίῳ; " ὀσμὴ,"
φησὶν, " εὐωδίας τῷ Θεῷ καρδία δοξάζουσα τὸν πεπλακότα
" αὐτήν." Ταῦτα στέφη καὶ θυσίαι καὶ ἀρώματα καὶ ἄνθη
τοῦ Θεοῦ.

Luc. xvii. 3, 4. VII. Ἔτι περὶ ἀνεξικακίας, " ἐὰν ἁμάρτῃ," φησὶν, " ὁ
" ἀδελφός σου, ἐπιτίμησον αὐτῷ, καὶ ἐὰν μετανοήσῃ, ἄφες
" αὐτῷ. Ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ, καὶ τὸ
" ἑπτάκις ἐπιστρέφῃ πρὸς σὲ λέγων, μετανοῶ, ἄφες αὐτῷ·"
καὶ τοῖς μὲν στρατευομένοις διὰ Ἰωάννου παραγγέλλει,
Luc. iii. 13, 14. " ἀρκεῖσθαι μόνοις τοῖς ὀψωνίοις," τοῖς δὲ τελώναις " μηδὲν
Ex. xxiii. 18. " πλέον πράσσειν παρὰ τὰ διατεταγμένα," δικαστῇ δὲ, " Οὐ
" λήψῃ," φησὶ, " πρόσωπον ἐν κρίσει, τὰ γὰρ δῶρα ἐκτυ-
" φλοῖ ὀφθαλμοὺς βλεπόντων καὶ λυμαίνεται ῥήματα δίκαια,
" ῥύσασθαι ἀδικουμένους." Ἀλλὰ καὶ τοῖς οἰκονομικοῖς,
Prov. xiii. 11. " κτῆσις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται."
1 Pet. iv. 8. Ναὶ μὴν καὶ περὶ ἀγάπης, " Ἀγάπη," φησὶ, " καλύπτει πλῆ-
Matt. xxii. 21. " θος ἁμαρτιῶν." Καὶ περὶ πολιτείας· " Ἀπόδοτε τὰ Καί-
" σαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ." Ὅρκου δὲ πέρι
καὶ μνησικακίας· " Μὴ ἐγὼ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν
" ἐκπορευομένοις ἐκ γῆς Αἰγύπτου, προσενέγκαι μοι ὁλοκαυ-

VI. 22. Sic Irenæus lib. 4. c. 32. "Quemadmodum alibi ait: *Sacrificium Deo, cor contribulatum: odor suavitatis Deo, cor clarificans eum, qui plasmavit.*" Verum hæc verba in S. Scriptura reperire nondum potui. POTTER.

VII. 13. πολιτείας] Sensu apud SS. Patres rariore, qui hoc vocabulo sæpius *conversationem* denotant.

15. Μὴ ἐγώ] Hæc verba in S. Scriptura frustra quæsiveris. Similia dicunt Hieremias cap. VII. 22, 23. et Zacharias cap. VIII. 17. e quibus locis conjunctis et paulum mutatis hæc Clemens composuisse videtur. POTTER.

" τώματα καὶ θυσίας; ἀλλὰ τοῦτο ἐνετειλάμην αὐτοῖς·
" ἕκαστος ὑμῶν κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ αὐτοῦ μὴ
" μνησικακείτω, ὅρκον ψευδῆ μὴ ἀγαπάτω."

VIII. Ἀλλὰ καὶ ψεύσταις καὶ τετυφωμένοις προσα-
πειλεῖ, τοῖς μὲν ὧδέ πως· " Οὐαὶ τοῖς λέγουσι τὸ γλυκὺ Es. v. 20,
" πικρὸν καὶ τὸ πικρὸν γλυκὺ," τοῖς δὲ ὡδὶ, " Οὐαὶ οἱ συνετοὶ 21.
" ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες·" ὁ γὰρ ταπεινῶν Luc. xiv. 11.
" ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται."
Καὶ τοὺς μὲν ἐλεήμονας μακαρίζει, " ὅτι αὐτοὶ ἐλεηθήσονται," Matt. v. 7.
ὀργὴν δὲ ἡ σοφία ταλανίζει, " ὅτι" ἄρα " ἀπολέσει καὶ φρο- Prov. xv. 1.
" νίμους." Ἤδη δὲ ἀγαπᾶν τοὺς ἐχθροὺς κελεύει καὶ τοὺς Matt. v. 44.
καταρωμένους ἡμᾶς εὐλογεῖν, προσεύχεσθαί τε ὑπὲρ τῶν Luc. vi. 27
ἐπηρεαζόντων ἡμᾶς. " Τῷ τύπτοντί σε," φησὶν, " εἰς τὴν —29.
" σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ ἐὰν ἄρῃ σού τις τὸν
" χιτῶνα, μὴ κωλύσῃς καὶ τὸ ἱμάτιον." Περὶ δὲ τῆς
πίστεως· " Πάντα ὅσα ἂν αἰτήσησθε ἐν τῇ προσευχῇ πιστεύ- Matt. xxi.
" οντες, λήψεσθε," φησὶν, " πιστὸν δὲ ἀπίστοις οὐδὲν" κατὰ 22.
Πίνδαρον. Καὶ οἰκέταις μὲν χρηστέον, ὡς ἑαυτοῖς, ἄνθρωποι
γάρ εἰσιν, ὡς ἡμεῖς, ὁ γὰρ Θεὸς πᾶσιν τοῖς ἐλευθέροις καὶ
τοῖς δούλοις ἐστὶν, ἂν σκοπῇς, ἴσος,

IX. Δεῖ δὲ καὶ τοὺς πλημμελοῦντας τῶν οἰκετῶν οὐ κολά-
ζειν, ἐπιτιμᾶν δὲ, " ὁ γὰρ φειδόμενος," φησὶ, " τῆς βακτηρίας Prov. xiii.
" ἑαυτοῦ μισεῖ τὸν ἑαυτοῦ υἱόν." Ἔτι τὴν μὲν φιλοδοξίαν 24.
ἀποσκορακίζει· " Οὐαὶ ὑμῖν, Φαρισαῖοι," λέγων, " ὅτι ἀγα- Luc. xi. 43.
" πᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς καὶ τοὺς
" ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς." Τὴν δὲ μετάνοιαν τοῦ ἁμαρ-
τωλοῦ ἀσπάζεται τὴν ἑπομένην ταῖς ἁμαρτίαις μετάνοιαν
ἀγαπῶν, μόνος γὰρ ἀναμάρτητος αὐτὸς ὁ Λόγος· τὸ μὲν
γὰρ ἐξαμαρτάνειν πᾶσιν ἔμφυτον καὶ κοινὸν, ἀναδραμεῖν δὲ
μετὰ τὴν ἁμαρτίαν οὐ τοῦ τυχόντος ἀνδρὸς, ἀλλὰ ἀξιολόγου.
Περὶ δὲ τῆς μεταδόσεως, " Δεῦτε," εἶπε, " πρός με πάντες οἱ Matt. xxv.
" εὐλογημένοι, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βα- 34—36.
" σιλείαν ἀπὸ καταβολῆς κόσμου, ἐπείνασα γὰρ καὶ ἐδώκατέ

VIII. 14. πιστὸν] Extat inter Pindari fragmenta. POTTER.
IX. 1. οἰκετῶν] Pott. ἀδελφῶν.

“ *μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ* “ *συνηγάγετέ με, γυμνὸς καὶ περιεβάλετέ με, ἀσθενὴς καὶ* “ *ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με.*” Καὶ πότε τι τούτων τῷ Κυρίῳ πεποιήκαμεν ἡμεῖς; αὐτὸς ἐρεῖ πάλιν ὁ παιδαγωγὸς τὴν εὐποιίαν τῶν ἀδελφῶν ἀγαπητικῶς εἰς ἑαυτὸν μετατρέπων καὶ λέγων, Ἐφ᾽ ὅσον ἐποιήσατε τοῖς μικροῖς τούτοις, ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οἱ τοιοῦτοι εἰς ζωὴν αἰώνιον.

X. Τοιοίδε μὲν οἱ λογικοὶ νόμοι, οἱ παρακλητικοὶ λόγοι οὐκ ἐν πλαξὶ λιθίναις δακτύλῳ γεγραμμέναις Κυρίου, ἀλλ᾽ ἐν καρδίαις ἀνθρώπων ἐναπογεγραμμένοι ταῖς μόνον φθορὰν οὐκ ἐπιδεχομέναις. Διὰ τοῦτό τοι κατεάγασιν αἱ πλάκες τῶν σκληροκαρδίων, ἵν᾽ αἱ πίστεις τῶν νηπίων ἐν μαλθακαῖς τυπωθῶσι διανοίαις. Ἄμφω δὲ τὼ νόμω διηκόνουν τῷ Λόγῳ εἰς παιδαγωγίαν τῆς ἀνθρωπότητος, ὁ μὲν διὰ Μωϋσέως, ὁ δὲ δι᾽ ἀποστόλων. Οἵα γοῦν καὶ δι᾽ ἀποστόλων ἡ παιδαγωγία, ἀναγκαῖόν μοι δοκεῖ καὶ περὶ τοῦ εἴδους διαλεχθῆναι τούτου, μᾶλλον δὲ δι᾽ ἐμαυτοῦ μεμνημένος ὁ παιδαγωγός φησιν, ἃς
Eph. iv. 25—28. αὐτὰς σπερματικῶς πάλιν τὰς ὑποθήκας ἐκθήσομαι· “ Ἀποθέ-
“ μενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλη-
“ σίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη.—Ὁ ἥλιος μὴ ἐπι-
“ δυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ
“ διαβόλῳ. Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κο-
“ πιάτω ἐργαζόμενος τὸ ἀγαθὸν,—ἵνα ἔχῃ μεταδιδόναι τῷ
Ib. 31. “ χρήζοντι.” “ Πᾶσα πικρία καὶ ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ
“ καὶ βλασφημία ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ. Γί-
“ νεσθε εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι
“ ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.”
Eph. v. 1, 2. “ Γίνεσθε οὖν” φρόνιμοι καὶ “ μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα
“ ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς
Ib. 22. “ ἠγάπησεν ὑμᾶς.” “ Αἱ μὲν γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν
Ib. 25. “ ὑποτασσέσθωσαν, ὡς τῷ Κυρίῳ,—οἱ δὲ ἄνδρες τὰς γυναῖκας
“ τὰς ἑαυτῶν ἀγαπάτωσαν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε
“ τὴν ἐκκλησίαν.”

X. 2. ἐν πλαξὶ] Respicit 2 Cor. iii. 3. Potter.

XI. Ἀγαπάτωσαν οὖν ἀλλήλους οἱ συνεζευγμένοι, “ ὡς Eph. v. 28.
“ τὰ ἴδια σώματα.” “ Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν, Eph. vi. 1.
“ —οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ’ ἐκτρέφετε Ib. 4, 5.
“ αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Οἱ δοῦλοι ὑπακούετε
“ τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλό-
“ τητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ—ἐκ ψυχῆς μετ’ εὐνοί-
“ ας δουλεύοντες.—Καὶ οἱ κύριοι εὖ ποιεῖτε τοὺς οἰκέτας ὑμῶν
“ ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν ὁ
“ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστιν.”
“ Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώ- Gal. v. 25,
“ μεθα κενόδοξοι ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθο- 26.
“ νοῦντες·—ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπλη- Gal. vi. 2.
“ ρώσατε τὸν νόμον τοῦ Χριστοῦ.—Μὴ πλανᾶσθε, Θεὸς οὐ Ib. 7.
“ μυκτηρίζεται.—Τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ Ib. 9.
“ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι.” “ Εἰρηνεύετε ἐν ἑαυτοῖς. 1 Thess. v.
“ Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, 13—15.
“ παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν,
“ μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ
“ τινὶ ἀποδῷ.—Τὸ πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ ἐξου- Ib. 19—22.
“ θενεῖτε, πάντα δὲ δοκιμάζετε, καὶ τὸ καλὸν κατέχετε, ἀπὸ
“ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.” “Τῇ προσευχῇ προσκαρ- Col. iv. 2.
“ τερεῖτε γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.—Ἐν σοφίᾳ Ib. 5, 6.
“ περιπατεῖτε πρὸς τοὺς ἔξω τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ
“ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι
“ πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.”

XII. Ἐντρέφεσθε τοῖς λόγοις τῆς πίστεως,—γυμνάζεσθε
“ πρὸς εὐσέβειαν, ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν 1 Tim. iv.
“ ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγ- 6, 7, 8.
“ γελίαν ἔχουσα τῆς ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης.” “ Οἱ
“ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί Ib. vi. 2.
“ εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν.” “ Ὁ
“ μεταδιδοὺς” ἔστω “ ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, Rom. xii. 8
“ ὁ ἐλεῶν ἐν ἱλαρότητι, ἡ ἀγάπη ἀνυπόκριτος, ἀποστυγοῦντες —13.

XII. 2. γυμνασία] Scilicet quâ *corpus* ad vires atque agilitatem perducitur.
6. μᾶλλον] *Eo majore opera.*

"τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ, τῇ φιλαδελφίᾳ εἰς "ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, "τῇ σπουδῇ μὴ ὀκνηροὶ, τῷ πνεύματι ζέοντες, τῷ Κυρίῳ "δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, "τῇ προσευχῇ προσκαρτεροῦντες, τὴν φιλοξενίαν διώκοντες, "ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες."

XIII. Ὀλίγα ταῦτα ἐκ πολλῶν δείγματος χάριν ἀπ' αὐτῶν διεξελθὼν τῶν θείων γραφῶν ὁ παιδαγωγὸς τοῖς αὐτοῦ παρατίθεται παισὶν, δι' ὧν, ὡς ἔπος εἰπεῖν, ἄρδην ἐκκόπτεται κακία καὶ περιγράφεται ἀδικία. Μυρίαι δὲ ὅσαι ὑποθῆκαι εἰς πρόσωπα ἐκλεκτὰ διατείνουσαι ἐγγεγράφαται ταῖς βίβλοις ταῖς ἁγίαις, αἱ μὲν πρεσβυτέροις, αἱ δὲ ἐπισκόποις, αἱ δὲ διακόνοις, ἄλλαι χήραις, περὶ ὧν ἄλλος ἂν εἴη λέγειν καιρός. Πολλὰ δὲ καὶ δι' αἰνιγμάτων, πολλὰ δὲ καὶ διὰ παραβολῶν τοῖς ἐντυγχάνουσιν ἔξεστιν ὠφελεῖσθαι. Ἀλλ' οὐκ ἐμὸν, φησὶν ὁ παιδαγωγὸς, διδάσκειν ἔτι ταῦτα, διδασκάλου δὲ εἰς τὴν ἐξήγησιν τῶν ἁγίων ἐκείνων λόγων χρῄζομεν, πρὸς ὃν ἡμῖν βαδιστέον. Καὶ δὴ ὥρα γε ἐμοὶ μὲν πεπαῦσθαι τῆς παιδαγωγίας, ὑμᾶς δὲ ἀκροᾶσθαι τοῦ διδασκάλου.

XIV. Παραλαβὼν δὲ οὗτος ὑμᾶς ὑπὸ καλῇ τεθραμμένους ἀγωγῇ ἐκδιδάξεται τὰ λόγια. Εἰς καλὸν δὲ ἡ ἐκκλησία ἥδε, καὶ ὁ νυμφίος ὁ μόνος διδάσκαλος, ἀγαθοῦ Πατρὸς ἀγαθὸν βούλημα, Σοφία γνήσιος, ἁγίασμα γνώσεως· "καὶ αὐτὸς

1 Joan. ii. 2—6.

"ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν," ὥς φησιν ὁ Ἰωάννης, ὁ ἰώμενος ἡμῶν καὶ σῶμα καὶ ψυχὴν, τὸν ἴδιον ἄνθρωπον, Ἰησοῦς, "οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον ἁμαρτιῶν, "ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Καὶ ἐν τούτῳ γινώ"σκομεν ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶ"μεν. Ὁ λέγων ὅτι ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ "μὴ τηρῶν, ψεύστης ἐστὶ καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν. "Ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ "ἀγάπη τοῦ Θεοῦ τετελείωται. Ἐν τούτῳ γινώσκομεν ὅτι

XIII. 10. διδασκάλου] Ejus nempe qui adultos instituit; qualem se gerit Clemens in Στρωματέων libris. Potter.

" ἐν αὐτῷ ἐσμὲν, ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει, καθὼς " κἀκεῖνος περιεπάτησεν, καὶ αὐτὸς περιπατεῖν."

XV. Ὦ τῆς μακαρίου θρέμματα παιδαγωγίας· τὸ καλὸν τῆς ἐκκλησίας πληρώσωμεν πρόσωπον καὶ πρὸς τὴν ἀγαθὴν προσδράμωμεν οἱ νήπιοι μητέρα, κἂν ἀκροαταὶ τοῦ λόγου γενώμεθα, τὴν μακαρίαν δοξάζωμεν οἰκονομίαν, δι' ἣν παιδαγωγεῖται μὲν ὁ ἄνθρωπος, ἁγιάζεται δὲ ὡς Θεοῦ παιδίον, καὶ πολιτεύεται μὲν ἐν οὐρανοῖς ἀπὸ γῆς παιδαγωγούμενος. Πατέρα δὲ ἐκεῖ λαμβάνει, ὃν ἐπὶ γῆς μανθάνει. Πάντα ὁ Λόγος καὶ ποιεῖ καὶ διδάσκει καὶ παιδαγωγεῖ. Ἵππος ἄγεται χαλινῷ, καὶ ταῦρος ἄγεται ζυγῷ, θηρίον βρόχῳ ἁλίσκεται, ὁ δὲ ἄνθρωπος μεταπλάσσεται λόγῳ, ᾧ θηρία τιθασσεύεται καὶ νηκτὰ δελεάζεται καὶ πτηνὰ κατασύρεται. Οὗτος ὡς ἀληθῶς τεχνάζεται ἵππῳ χαλινὸν, ταύρῳ ζυγὸν, θηρίῳ βρόχον, κάλαμον ἰχθύϊ, πάγην ὀρνέῳ· οὗτος πολιτεύεται καὶ γεωργεῖ, ἄρχει καὶ ὑπουργεῖ καὶ τὰ ὅλα δημιούργει·

ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται.

XVI. Ὦ τῶν θείων δημιουργημάτων, ὦ τῶν θείων παραγγελμάτων· ὕδωρ τοῦτο ἐν ἑαυτῷ κυμαινέτω, πῦρ τοῦτο τὴν ὀργὴν συνεχέτω, ἀὴρ οὗτος εἰς αἰθέρα πλανάσθω, γῆ δὲ καὶ πεπήχθω καὶ φερέσθω, ὅταν ἐγὼ θέλω ἄνθρωπον ἔτι πλάσαι καὶ βούλωμαι, ὕλην ἔχω τὰ στοιχεῖα, συνοικῶ μου τῷ πλάσματι. Ἐάν με γνωρίσῃς, δουλεύσει σοι τὸ πῦρ. Τοσοῦτος ὁ Λόγος οὗτος, ὁ παιδαγωγὸς, ὁ τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου δημιουργὸς, καὶ δι' αὐτὸν ἤδη καὶ τοῦ κόσμου παιδαγωγὸς, οὗ τῇ ἐγκελεύσει ἄμφω συνεστήκαμεν προσμένοντες τὴν κρίσιν. Οὐ γὰρ ὑπόκλοπον φορεῖ βροτοῖσι φωνάεντα λόγον,

XV. 4. *οἰκονομίαν*] Nempe Christi incarnationem, quam hoc nomine plerique Patres appellant; eamque opponunt *τῇ θεολογίᾳ*, seu *sermoni* de Ejus divinitate. POTTER.

6. Respicit Phil. iii. 20. POTTER.

ἐν μὲν] Verba Homeri de Vulcano Achillis clypeum fabricante. Sunt autem Iliad. σ'. vers. 483, 485. Medium inter hos omisit Clemens, qui sic se habet. Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν. POTTER.

XVI. 10. *οὐ γὰρ*] Censet Potterus legendum *οὐ γὰρ ὁ*. Nescio tamen annon possit intelligi Bacchylides de veritate in omni sermone quodammodo latente.

Phil. ii. 15. ἔσται λόγος σοφία, ὥς φησι Βακχυλίδης. Τὰ δὲ ἄμεμπτα καὶ ἀκέραια καὶ ἄμωμα τοῦ Θεοῦ κατὰ τὸν Παῦλον τέκνα, μέσον γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, φωστήρων δίκην ἐν κόσμῳ φαίνεσθαι.

XVII. Ὅπερ οὖν λοιπὸν ἐπὶ τοιαύτῃ πανηγύρει τοῦ Λόγου, τῷ Λόγῳ προσευξώμεθα· ἵλαθι τοῖς σοῖς, παιδαγωγέ, παιδίοις, πατὴρ, ἡνίοχε Ἰσραὴλ, υἱὲ καὶ πατὴρ, ἓν ἄμφω Κύριε. Δὸς δὲ ἡμῖν τοῖς σοῖς ἑπομένοις παραγγέλμασι τὸ ὁμοίωμα πληρῶσαι τῆς εἰκόνος, αἰσθάνεσθαί τε κατὰ κράτος ἀγαθοῦ τοῦ Θεοῦ, κριτοῦ τε μὴ πικροῦ, καὶ πάρασχε ἅπαντα αὐτὸς ἐν εἰρήνῃ τῇ σῇ πολιτευομένους, ἐν τῇ σῇ μετατιθεμένους πόλει, ἀκυμάντως τῆς ἁμαρτίας τὸν κλύδωνα διαπλεύσαντας, γαληνιῶντας ἁγίῳ συμφέρεσθαι Πνεύματι, σοφίᾳ τῇ ἀνεκφράστῳ, νύκτωρ, καθ' ἡμέραν, εἰς τὴν τελείαν ἡμέραν, αἰνοῦντας εὐχαριστεῖν, [εὐχαριστοῦντας] αἰνεῖν, τῷ μόνῳ πατρὶ καὶ υἱῷ, υἱῷ καὶ πατρὶ, παιδαγωγῷ καὶ διδασκάλῳ υἱῷ, σὺν καὶ τῷ ἁγίῳ Πνεύματι, πάντα τῷ ἑνὶ, ἐν ᾧ τὰ πάντα, δι' ὃν τὰ πάντα ἕν, δι' ὃν τὸ ἀεὶ, οὗ μέλη πάντες, οὗ δόξα αἰῶνες, πάντα τῷ ἀγαθῷ, πάντα τῷ καλῷ, πάντα τῷ σοφῷ, τῷ δικαίῳ τὰ πάντα. Ὧι ἡ δόξα καὶ νῦν καὶ εἰς αἰῶνας. Ἀμήν. Ἐπεὶ δὲ εἰς τὴν ἐκκλησίαν ἡμᾶς καταστήσας ὁ παιδαγωγὸς αὐτὸς ἑαυτῷ παρακατέθετο τῷ διδασκαλικῷ καὶ πανεπισκόπῳ Λόγῳ, καλῶς ἂν ἔχοι ἡμᾶς ἐνταῦθα γενομένους μισθὸν εὐχαριστίας δικαίας κατάλληλον ἀστείου παιδαγωγίας αἶνον ἀναπέμψαι Κυρίῳ.

Ὕμνος τοῦ σωτῆρος Χριστοῦ τοῦ ἁγίου Κλήμεντος.

Στόμιον πώλων ἀδαῶν,
πτερὸν ὀρνίθων ἀπλανῶν,

13. *φαίνεσθαι*] Unus *φαίνεσθε*, possis vero ita accipere ac si scriptum esset *φωστήρων δίκην ἔστιν*.

XVII. 3. *πατὴρ*] Comp. Is. ix. 6. 1 Cor. xv. 47. Heb. ii. 13.

5. *τὸ ὁμοίωμα*] Distinguit Clemens *ὁμοίωμα* et *εἰκόνα* Dei; et posteriorem omnes homines, prius vero solos bonos habere existimat. POTTER.

15. *οὗ δόξα*] Recte, ut videtur, Grabius apud Potterum, *Cujus gloria sunt sæcula:* i. e. spiritus cælestes, sive angeli. Conf. Col. i. 16. Heb. i. 2.

Hymn. I. *Στόμιον*] Respicere videtur ad Jac. iii. 2—4.

οἴαξ νηῶν ἀτρεκὴς,
ποιμὴν ἀρνῶν βασιλικῶν,
τοὺς σοὺς ἀφελεῖς
παῖδας ἄγειρον,
αἰνεῖν ἁγίως,
ὑμνεῖν ἀδόλως
ἀκάκοις στόμασιν
παίδων ἡγήτορα Χριστόν.
βασιλεῦ ἁγίων,
Λόγε πανδαμάτωρ
Πατρὸς ὑψίστου,
σοφίας πρύτανι
στήριγμα πόνων
αἰωνοχαρὲς,
βροτέας γενεᾶς
σῶτερ Ἰησοῦ,
ποιμὴν, ἀροτὴρ,
οἴαξ, στόμιον,
πτερὸν οὐράνιον,
παναγοῦς ποίμνης,
ἁλιεῦ μερόπων
τῶν σωζομένων,
πελάγους κακίας
ἰχθῦς ἁγνοὺς
κύματος ἐχθροῦ
γλυκερᾷ ζωῇ δελεάζων.
ἡγοῦ, προβάτων
λογικῶν ποιμὴν,
ἅγιε ἡγοῦ
βασιλεῦ παίδων ἀνεπάφων.
Ἴχνια Χριστοῦ,
ὁδὸς οὐρανία,
Λόγος ἀέναος,

3. νηῶν] Potter. νηπίων.
32. ἀνεπάφων] Interp. *intactorum*, sed referri potest ad regenerationem. Cf. Joan. i. 13, et 17. v. 18.

αἰὼν ἄπλετος
φῶς ἀΐδιον,
ἐλέους πηγή,
ῥεκτὴρ ἀρετῆς,
σεμνὴ βιοτὴ
Θεὸν ὑμνούντων, Χριστὲ Ἰησοῦ,
γάλα οὐράνιον
μαστῶν γλυκερῶν
νύμφης χαρίτων,
σοφίας τῆς σῆς ἐκθλιβόμενον,
οἱ νηπίαχοι
ἀταλοῖς στόμασιν
ἀτιταλλόμενοι,
θηλῆς λογικῆς
πνεύματι δροσερῷ
ἐμπιπλάμενοι
αἴνους ἀφελεῖς,
ὕμνους ἀτρεκεῖς,
βασιλεῖ Χριστῷ,
μισθοὺς ὁσίους
ζωῆς διδαχῆς,
μέλπωμεν ὁμοῦ,
μέλπωμεν ἁπλῶς,
παῖδα κρατερόν.
Χορὸς εἰρήνης
οἱ χριστόγονοι,
λαὸς σώφρων,
ψάλλωμεν ὁμοῦ Θεὸν εἰρήνης.

Εἰς τὸν παιδαγωγόν.

Σοὶ τόνδε κἀγὼ, παιδαγωγὲ, προσφέρω
λόγοισι πλέξας στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ἡμῖν οὗ παρέσχου τὰς νομὰς,
ὡς ἐργάτις μέλιττα χωρίων ἄπο

63. ψάλλωμεν] Potter. ψάλωμεν.

βλάστην τρυγῶσα, χρηστὸν ἐκ σίμβλων πόνον,
κηρὸν δίδωσι τὸν γλυκὺν τῷ προστάτῃ.
Εἰ καὶ βραχὺς δ' ἐγώ τις οἰκέτης γε σός·
δεῖ γάρ σε τοῖς σοῖς εὐλογεῖν θεσπίσμασιν·
ἄναξ βροτῶν μέγιστε, τῶν καλῶν δοτήρ,
ἐσθλῶν χορηγὲ καὶ τὸ πᾶν κτίσας πάτερ,
ὃς οὐρανόν τε καὶ τὸν οὐρανοῦ μόνος
κόσμον τέθεικας, ἁρμόσας θείῳ Λόγῳ,
ὁ δείξας αὐτὸς ἡμέραν τε καὶ φάος,
καὶ τὸν πολοῦσιν ἄστροις νημερτῆ δρόμον.
Ἐνταῦθ' ὅποι γῆ καὶ θάλασσα προσμένοι,
τροπῶν τε καιρὸν εὐστόχως δήσας κύκλῳ
ἔαρ τε καὶ χειμῶνα καὶ θέρος πάλιν
τοῦ τε μετοπώρου τάξιν ἐξηρτισμένην,
ὅλον τε κόσμον ἐξ ἀκοσμίας κτίσας
ὕλης ἀμόρφου, τόδε τὸ πᾶν καταρτίσας,
αὐτὸς ζωήν τε καὶ καλῶς ἀεὶ βιοῦν,
χάριν τε τὴν σὴν ἀσφαλῶς πάρασχέ μοι,
ποιεῖν τε τὰς σὰς καὶ λέγειν θείας γραφὰς,
αἰνεῖν ἀεὶ σὲ καὶ τὸν ἐκ σοῦ πάνσοφον
τόν σοι συνόντα καὶ παρόντα σοὶ Λόγον.
Μή μοι δὲ πενίαν μηδὲ μὴν πλοῦτον δίδου,
τάξιν δὲ τοῦ δέοντος αὐταρκεστάτην,
πάτερ, παράσχου καὶ καλὸν βίου τέλος.

Iamb. 8. θεσπίσμασιν] Interp. *leges ob tuas*. Potius vero ad totum hoc Pædagogi opus referendum. Hoc nempe profitetur auctor, ea se in laudem Pædagogi dixisse, quæ prius ab Ipso per sacras Scripturas acceperat.

15. Ἐνταῦθ'] Potter. Εἰ τῷ δ'

21. αὐτὸς] Potter. in text. Αὐτό.

26. Μή μοι] Conf. Prov. xxx. 8.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΛΟΓΟΣ ΚΑΤΑ ΕΛΛΗΝΩΝ.

S. PATRIS NOSTRI

S. ATHANASII ARCHIEPISCOPI ALEXANDRINI

ORATIO CONTRA GENTES.

Η ΜΕΝ περὶ τῆς θεοσεβείας, καὶ τῆς τῶν ὅλων ἀληθείας γνῶσις, οὐ τοσοῦτον τῆς παρὰ τῶν ἀνθρώπων διδασκαλίας δεῖται, ὅσον ἀφ' ἑαυτῆς ἔχει τὸ γνώριμον·

Ἀθανασίου] S. Athanasius, Fidei Catholicæ propugnator omnium acerrimus, Alexandriæ natus, ibique sub Alexandro Archiepiscopo factus inter Diaconos primus, in Concilio Nicæno Arium confutavit. Paucis deinde mensibus elapsis, annos tantum octo et viginti natus, mortuo Alexandro, in sedem vacantem promotus est anno 326. Annos 46 episcopatum obtinuit, varia fortuna, fide et virtute immobilis. A Constantino propter calumniam seditionis Treverim relegatus, per filium ejus Constantinum restitutus est an. 337. A synodo tamen Antiocheno an. 341, per fraudem Arianorum damnatus, exilium iterum tulit, pseudepiscopo Gregorio sedem tenente; Romæ a Julio Papa benigne habitus et criminibus omnibus absolutus. Gregorio in Synodo Œcumenica Sardicensi deposito, deinde ab ipsis Alexandrinis interfecto, Constanti fratri roganti concessit Constantius ut S. Athanasio liceret Alexandriam redire. An. 356. tertio ab Arianis pulsus, in Thebaidis solitudinem recessit, Georgio Ariano Alexandriæ in orthodoxos sæviente. Georgio a paganis occiso, Constantio etiam mortuo, rediit, exilium quartum sub Juliano, supplicium, nisi Deus probibuisset, sub Valente passurus. Anno 371 hujus vitæ ærumnas exuit. Cujus elogium legas apud Hookerum nostrum. Eccl. Pol. lib. v. c. xlii.

3. τὸ γνώριμον] Hyperbolice quidem loquitur, illud tamen indicare videtur, præcipua doctrinæ Christianæ capita ita in ore hominum ferri,

μόνον γὰρ οὐχὶ καθ' ἡμέραν τοῖς ἔργοις κέκραγε, καὶ ἡλίου λαμπρότερον ἑαυτὴν διὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐπιδείκνυται. Ποθοῦντι δέ σοι ὅμως τὰ περὶ ταύτης ἀκοῦσαι, φέρε, ὦ Μακάριε, ὡς ἂν οἷοί τε ὦμεν, ὀλίγα τῆς κατὰ Χριστὸν πίστεως ἐκθώμεθα· δυναμένῳ μέν σοι καὶ ἀπὸ τῶν θείων λογίων ταύτην εὑρεῖν, φιλοκάλως δὲ ὅμως καὶ παρ' ἑτέρων ἀκούοντι. Αὐτάρκεις μὲν γάρ εἰσιν αἱ ἅγιαι καὶ θεόπνευστοι γραφαὶ πρὸς τὴν τῆς ἀληθείας ἀπαγγελίαν· εἰσὶ δὲ καὶ πολλοὶ τῶν μακαρίων ἡμῶν διδασκάλων εἰς ταῦτα συνταχθέντες λόγοι· οἷς ἐάν τις ἐντύχοι εἴσεται μέν πως τὴν τῶν γραφῶν ἑρμηνείαν, ἧς δὲ ὀρέγεται γνώσεως τυχεῖν δυνήσεται· ἀλλ' ἐπειδὴ τὰς τῶν διδασκάλων συντάξεις ἐν χερσὶ νῦν οὐκ ἔχομεν, ἀναγκαῖόν ἐστιν, ἃ παρ' ἐκείνων ἐμάθομεν, ταῦτα καὶ ἀπαγγέλλειν καὶ γράφειν σοι· λέγω δὴ τὴν κατὰ τὸν Σωτῆρα Χριστὸν πίστιν, ἵνα μήτε εὐτελῆ τις τὴν τοῦ καθ' ἡμᾶς λόγου διδασκαλίαν ἡγήσηται, μήτε ἄλογον τὴν εἰς Χριστὸν πίστιν ὑπολάβῃ· ὁποῖα διαβάλλοντες Ἕλληνες χλευάζουσι, καὶ πλατὺ γελῶσι καθ' ἡμῶν, οὐδὲν ἕτερον ἢ τὸν σταυρὸν τοῦ Χριστοῦ προφέροντες, ἐφ' ᾧ μάλιστα καὶ τὴν ἀναισθησίαν αὐτῶν οἰκτειρήσειεν ἄν τις, ὅτι τὸν σταυρὸν διαβάλλοντες, οὐχ ὁρῶσι τὴν τούτου δύναμιν πᾶσαν τὴν οἰκουμένην πεπληρωκυῖαν, καὶ ὅτι δι' αὐτοῦ τὰ τῆς θεογνωσίας ἔργα πᾶσι πεφανέρωται. Οὐκ ἂν γὰρ, εἴπερ ἦσαν καὶ αὐτοὶ γνησίως ἐπιστήσαντες αὐτοῦ τῇ θεότητι τὸν νοῦν, ἐχλεύαζον τὸ τηλικοῦτον· ἀλλὰ μᾶλλον καὶ αὐτοὶ τοῦτον ἐπεγίνωσκον Σωτῆρα τοῦ παντὸς, καὶ τὸν σταυρὸν μὴ βλάβην, ἀλλὰ θεραπείαν τῆς κτίσεως γεγονέναι. Εἰ γὰρ τοῦ σταυροῦ γενομένου, πᾶσα μὲν εἰδωλολατρεία καθῃρέθη, πᾶσα δὲ δαιμόνων φαντασία τῷ σημείῳ τούτῳ ἀπελαύνεται, καὶ μόνος ὁ Χριστὸς

ita per vitam et cultum fidelium elucere, ut posset quisquam pæne nullo docente veritatem attingere. Nescio tamen an lateat in hoc vocabulo probationis significatio, quo quidem auctorem haud dubie spectavisse judices, si finem hujus capituli observaveris.

24. τὸν σταυρὸν] Vid. S. Chrys. in 1 Cor. Hom. iv.

33. σημείῳ] Signo scilicet crucis per digitum expresso. Id autem cum facerent formula quadam verborum utebantur, velut 'In nomine Patris et Filii et Spiritus sancti.'

προσκυνεῖται, καὶ δι' αὐτοῦ γινώσκεται ὁ Πατὴρ, καὶ οἱ μὲν ἀντιλέγοντες καταισχύνονται, ὁ δὲ τῶν ἀντιλεγόντων ὁσημέραι τὰς ψυχὰς ἀφανῶς μεταπείθει· πῶς, εἰκότως γὰρ ἄν τις εἴποι πρὸς αὐτοὺς, ἔτι ἀνθρώπινόν ἐστιν ἐπινοεῖν τὸ πρᾶγμα, καὶ οὐ μᾶλλον ὁμολογεῖν Θεοῦ Λόγον καὶ Σωτῆρα εἶναι τοῦ παντὸς τὸν ἐπὶ τοῦ σταυροῦ ἀναβάντα; πάσχειν δὲ καὶ οὗτοί μοι δοκοῦσιν ὅμοιον, ὡς εἴ τις τὸν μὲν ἥλιον ὑπὸ νεφῶν σκεπόμενον διαβάλλοι, τὸ δὲ τούτου φῶς θαυμάζοι, βλέπων ὅτι πᾶσα ἡ κτίσις ὑπὸ τούτου καταλάμπεται. Ὡς γὰρ καλὸν τὸ φῶς, καὶ καλλίων ὁ τοῦ φωτὸς ἀρχηγὸς ἥλιος· οὕτω θείου πράγματος ὄντος τοῦ τὴν οἰκουμένην πᾶσαν τῆς αὐτοῦ γνώσεως πεπληρῶσθαι, ἀνάγκη τὸν ἀρχηγὸν καὶ ἡγεμόνα τοῦ τοιούτου κατορθώματος εἶναι Θεὸν καὶ Θεοῦ Λόγον. Λέγομεν οὖν ὡς ἐφικτὸν ἡμῖν, πρότερον διελέγξαντες τὴν τῶν ἀπίστων ἀμαθίαν· ἵνα τῶν ψευδῶν διελεγχθέντων, λοιπὸν ἡ ἀλήθεια δι' ἑαυτῆς ἐπιλάμψῃ, καὶ θαρρῇς καὶ αὐτὸς, ὦ ἄνθρωπε, ὅτι ἀληθείᾳ πεπίστευκας, καὶ τὸν Χριστὸν γινώσκων οὐκ ἠπατήθης. Πρέπειν δέ σοι ἡγοῦμαι φιλοχρίστῳ ὄντι, τὰ περὶ Χριστοῦ διαλέγεσθαι· ἐπεὶ καὶ πάντων τιμιωτέραν τὴν περὶ τούτου γνῶσιν καὶ πίστιν ἡγεῖσθαί σε πεπίστευκα.

II. Ἐξ ἀρχῆς μὲν οὐκ ἦν κακία· οὐδὲ γὰρ οὐδὲ νῦν ἐν τοῖς ἁγίοις ἐστὶν, οὐδ' ὅλως κατ' αὐτῶν ὑπάρχει αὕτη· ἄνθρωποι δὲ ταύτην ὕστερον ἐπινοεῖν ἤρξαντο, καὶ καθ' ἑαυτῶν ἀνατυποῦσθαι. Ὅθεν δὴ καὶ τὴν τῶν εἰδώλων ἐπίνοιαν ἑαυτοῖς ἀνεπλάσαντο, τὰ οὐκ ὄντα ὡς ὄντα λογιζόμενοι. Ὁ μὲν γὰρ τοῦ παντὸς δημιουργὸς καὶ παμβασιλεὺς Θεὸς, ὁ ὑπερεπέκεινα πάσης οὐσίας καὶ ἀνθρωπίνης ἐπινοίας ὑπάρχων, ἅτε δὴ ἀγαθὸς καὶ ὑπέρκαλλος ὢν, διὰ τοῦ ἰδίου Λόγου, τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ ἀνθρώπινον γένος κατ' ἰδίαν εἰκόνα πεποίηκε· καὶ τῶν ὄντων αὐτὸν θεωρητὴν καὶ ἐπιστήμονα, διὰ τῆς πρὸς αὐτὸν ὁμοι-

36. γὰρ] Omissa particula melius se habet constructio, nec legitur in Bodleiano codice, recenti illo quidem, sed accuratius exarato.

II. 7. ὑπερεπέκεινα] Ita Bodl. et Ed. Col; Ben. ὑπερέκεινα.

11. αὐτὸν] *Hominem.*

ὥσεως κατεσκεύασε, δοὺς αὐτῷ καὶ τῆς ἰδίας ἀϊδιότητος ἔννοιαν καὶ γνῶσιν, ἵνα τὴν ταυτότητα σώζων, μήτε τῆς περὶ Θεοῦ φαντασίας ποτὲ ἀποστῇ, μήτε τῆς τῶν ἁγίων συζήσεως ἀποπηδήσῃ· ἀλλ' ἔχων τὴν τοῦ δεδωκότος χάριν, ἔχων καὶ τὴν ἰδίαν ἐκ τοῦ πατρικοῦ Λόγου δύναμιν, ἀγάλληται καὶ συνομιλῇ τῷ θείῳ, ζῶν τὸν ἀπήμονα καὶ μακάριον ὄντως τὸν ἀθάνατον βίον· οὐδὲν γὰρ ἔχων ἐμπόδιον εἰς τὴν περὶ τοῦ θείου γνῶσιν, θεωρεῖ μὲν ἀεὶ διὰ τῆς αὐτοῦ καθαρότητος τὴν τοῦ Πατρὸς εἰκόνα, τὸν Θεὸν Λόγον, οὗ καὶ κατ' εἰκόνα γέγονεν. Ὑπερεκπλήττεται δὲ κατανοῶν τὴν δι' αὐτοῦ εἰς τὸ πᾶν πρόνοιαν, ὑπεράνω μὲν τῶν αἰσθητῶν καὶ πάσης σωματικῆς φαντασίας γινόμενος, πρὸς δὲ τὰ ἐν οὐρανοῖς θεῖα καὶ νοητὰ τῇ δυνάμει τοῦ νοῦ συναπτόμενος. Ὅτε γὰρ οὐ συνομιλεῖ τοῖς σώμασιν ὁ νοῦς ὁ τῶν ἀνθρώπων, οὐδέ τι τῆς ἐκ τούτων ἐπιθυμίας μεμιγμένον ἔξωθεν ἔχει, ἀλλ' ὅλος ἐστὶν ἄνω ἑαυτῷ συνὼν ὡς γέγονεν ἐξ ἀρχῆς· τότε δὴ τὰ αἰσθητὰ καὶ πάντα τὰ ἀνθρώπινα διαβὰς, ἄνω μετάρσιος γίνεται, καὶ τὸν Λόγον ἰδὼν, ὁρᾷ ἐν αὐτῷ καὶ τὸν τοῦ Λόγου Πατέρα, ἡδόμενος ἐπὶ τῇ τούτου θεωρίᾳ, καὶ ἀνακαινούμενος ἐπὶ τῷ πρὸς τοῦτον πόθῳ. Ὥσπερ οὖν τὸν πρῶτον τῶν ἀνθρώπων γενόμενον, ὃς καὶ κατὰ τὴν τῶν Ἑβραίων γλῶτταν Ἀδὰμ ὠνομάσθη, λέγουσιν αἱ ἱεραὶ γραφαὶ κατὰ τὴν ἀρχὴν ἀνεπαισχύντῳ παρρησίᾳ τὸν νοῦν ἐσχηκέναι πρὸς τὸν Θεὸν, καὶ συνδιαιτᾶσθαι τοῖς ἁγίοις ἐν τῇ τῶν νοητῶν θεωρίᾳ, ἣν εἶχεν ἐν ἐκείνῳ τῷ τόπῳ, ὃν καὶ ὁ ἅγιος Μωϋσῆς τροπικῶς παράδεισον ὠνόμασεν. Ἱκανὴ δὲ ἡ τῆς ψυχῆς καθαρότης ἐστὶ, τὸν Θεὸν δι' ἑαυτῆς κατοπτρίζεσθαι, καθάπερ καὶ ὁ Κύριός φησι· "μακάριοι Matt. v. 8. "οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται."

17. τῷ θείῳ] Bodl. τῷ Θεῷ, quod magis Christianum sapit. Ethnico tamen lectori accommodatius τὸ θεῖον, quippe animum ad philosophiam a fabulis revocans. Alternis utitur S. Athanasius, philosophiam fidei subnectens.

36. Indicare videtur sensum spiritualem toti narrationi subesse, non ita tamen ut primum et naturalem evacuet. Prima enim veritatis documenta per res rerum imagines humano generi tradebantur, nec quidquam fieri potuisset innocentiæ illi primorum hominum magis congruum, quam ut qui animo paradisum spiritualem, corpore etiam visibilem habitarent.

III. Οὕτω μὲν οὖν ὁ δημιουργὸς, ὥσπερ εἴρηται, τὸ τῶν ἀνθρώπων γένος κατεσκεύασε, καὶ μένειν ἠθέλησεν. Οἱ δὲ ἄνθρωποι κατολιγωρήσαντες τῶν κρειττόνων, καὶ ὀκνήσαντες περὶ τὴν τούτων κατάληψιν, τὰ ἐγγυτέρω μᾶλλον ἑαυτῶν ἐζήτησαν. Ἐγγύτερα δὲ τούτοις ἦν τὸ σῶμα, καὶ αἱ τούτου αἰσθήσεις· ὅθεν τῶν μὲν νοητῶν ἀπέστησαν ἑαυτῶν τὸν νοῦν, ἑαυτοὺς δὲ κατανοεῖν ἤρξαντο· ἑαυτοὺς δὲ κατανοοῦντες, καὶ τοῦ τε σώματος καὶ τῶν ἄλλων αἰσθητῶν ἀντιλαμβανόμενοι, καὶ ὡς ἐν ἰδίοις ἀπατώμενοι, εἰς ἑαυτῶν ἐπιθυμίαν ἔπεσαν, τὰ ἴδια προτιμήσαντες τῆς πρὸς τὰ θεῖα θεωρίας· ἐνδιατρίψαντες δὲ τούτοις, καὶ τῶν ἐγγυτέρω μὴ ἀποστῆναι θέλοντες, ταῖς μὲν τοῦ σώματος ἡδοναῖς συνέκλεισαν ἑαυτῶν τὴν ψυχὴν, τεταραγμένην καὶ πεφυρμένην πάσαις ἐπιθυμίαις· τέλεον δὲ ἐπελάθοντο τῆς ἐξ ἀρχῆς αὐτῶν παρὰ Θεοῦ δυνάμεως. Τοῦτο δ᾽ ἄν τις ἴδοι καὶ ἐκ τοῦ πρώτου πλασθέντος ἀνθρώπου ἀληθὲς, ὡς αἱ ἱεραὶ περὶ αὐτοῦ λέγουσι γραφαί. Κἀκεῖνος γὰρ, ἕως μὲν τὸν νοῦν εἶχε πρὸς τὸν Θεὸν καὶ τὴν τούτου θεωρίαν, ἀπεστρέφετο τὴν πρὸς τὸ σῶμα θεωρίαν· ὅτε δὲ συμβουλίᾳ τοῦ ὄφεος ἀπέστη μὲν τῆς πρὸς τὸν Θεὸν διανοίας, ἑαυτὸν δὲ κατανοεῖν ἤρξατο, τηνικαῦτα καὶ εἰς ἐπιθυμίαν τοῦ σώματος ἔπεσαν, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν, καὶ γνόντες ᾐσχύνθησαν. Ἔγνωσαν δὲ ἑαυτοὺς γυμνοὺς, οὐ τοσοῦτον ἀπὸ ἐνδυμάτων, ἀλλ᾽ ὅτι γυμνοὶ τῆς τῶν θείων θεωρίας γεγόνασι, καὶ πρὸς τὰ ἐναντία τὴν διάνοιαν μετήνεγκαν. Ἀποστάντες γὰρ τῆς πρὸς τὸν ἕνα καὶ ὄντα, Θεὸν λέγω, κατανοήσεως καὶ τοῦ πρὸς αὐτὸν πόθου, λοιπὸν εἰς διαφόρους καὶ εἰς τὰς κατὰ μέρος ἐπιθυμίας ἐνέβησαν τοῦ σώματος. Εἶτα, οἷα φιλεῖ γίνεσθαι, ἑκάστου καὶ πολλῶν ἐπιθυμίαν λαβόντες, ἤρξαντο καὶ τὴν πρὸς αὐτὰς σχέσιν ἔχειν· ὥστε καὶ φοβεῖσθαι ταύτας καταλεῖψαι· ὅθεν δὴ καὶ δειλίαι, καὶ φόβοι, καὶ

20. ἑαυτὸν] Huc enim spectabat serpentis consilium ipsum illud mali principium per occasionem rei externæ insinuantis.

30. αὐτὰς] Si recte quidem legitur, (mallem enim αὐτὰ, si mera conjectura uti liceret,) ad cupiditates referendum, quarum multitudo per rerum multitudinem innuitur.

ἡδοναὶ, καὶ θνητὰ φρονεῖν τῇ ψυχῇ προσγέγονεν. Οὐ θέλουσα γὰρ ἀποστῆναι τῶν ἐπιθυμιῶν, φοβεῖται τὸν θάνατον, καὶ τὸν χωρισμὸν τοῦ σώματος. Ἐπιθυμοῦσα δὲ πάλιν, καὶ μὴ τυγχάνουσα τῶν ὁμοίων, ἔμαθε φονεύειν καὶ ἀδικεῖν. Πῶς δὲ καὶ ταῦτα ποιεῖ, εὔλογον κατὰ δύναμιν σημᾶναι.

IV. Ἀποστᾶσα τῆς τῶν νοητῶν θεωρίας, καὶ ταῖς κατὰ μέρος τοῦ σώματος ἐνεργείαις καταχρωμένη, καὶ ἡσθεῖσα τῇ τοῦ σώματος θεωρίᾳ, καὶ ἰδοῦσα καλὸν ἑαυτῇ εἶναι τὴν ἡδονὴν, πλανηθεῖσα κατεχρήσατο τῷ τοῦ καλοῦ ὀνόματι, καὶ ἐνόμισεν εἶναι τὴν ἡδονὴν αὐτὸ τὸ ὄντως καλόν· ὥσπερ εἴ τις τὴν διάνοιαν παραπληγεὶς, καὶ ἀπαιτῶν ξίφος κατὰ τῶν ἀπαντώντων, νομίζοι τοῦτο εἶναι τὸ σωφρονεῖν. Ἐρασθεῖσα δὲ τῆς ἡδονῆς, ποικίλως αὐτὴν ἐνεργεῖν ἤρξατο. Οὖσα γὰρ τὴν φύσιν εὐκίνητος, εἰ καὶ τὰ καλὰ ἀπεστράφη, ἀλλὰ τοῦ κινεῖσθαι οὐ παύεται. Κινεῖται οὖν οὐκ ἔτι μὲν κατὰ ἀρετὴν, οὐδὲ ὥστε τὸν Θεὸν ὁρᾷν· ἀλλὰ τὰ μὴ ὄντα λογιζομένη, τὸ ἑαυτῆς δυνατὸν μεταποιεῖ, καταχρωμένη τούτῳ εἰς ἃς ἐπενόησεν ἐπιθυμίας, ἐπεὶ καὶ αὐτεξούσιος γέγονε. Δύναται γὰρ ὥσπερ πρὸς τὰ καλὰ νεύειν, οὕτω καὶ τὰ καλὰ ἀποστρέφεσθαι· ἀποστρεφομένη δὲ τὸ καλὸν, πάντως τὰ ἐναντία λογίζεται· παύσασθαι γὰρ καθόλου τοῦ κινεῖσθαι οὐ δύναται, τὴν φύσιν οὖσα, ὡς προεῖπον, εὐκίνητος. Καὶ γινώσκουσα τὸ αὐτεξούσιον ἑαυτῆς, ὁρᾷ ἑαυτὴν δύνασθαι κατ' ἀμφότερα τοῖς τοῦ σώματος μέλεσι χρᾶσθαι, εἴς τε τὰ ὄντα, καὶ τὰ μὴ ὄντα· ὄντα δέ ἐστι τὰ καλὰ, οὐκ ὄντα δὲ τὰ φαῦλα. Ὄντα δέ φημι τὰ καλὰ, καθότι ἐκ τοῦ ὄντος Θεοῦ τὰ παραδείγματα ἔχει. Οὐκ ὄντα δὲ τὰ κακὰ λέγω, καθότι ἐπινοίαις ἀνθρώπων οὐκ ὄντα ἀναπέπλασται· ἔχοντος γὰρ τοῦ σώματος ὀφθαλμοὺς,

IV. 10. κινεῖσθαι] *Agendo moveri.*

12. τὸ ἑαυτῆς δυνατὸν] Sensu activo.

20. ὄντα] Ita etiam S. Augustinus affirmat, (De Civ. Dei, xi. 9.) "nullam esse naturam mali, sed amissionem boni, mali nomen accepisse." Scilicet quia nihil est a Deo creatum quod non bonum esset, si secundum naturam a Deo datam moveretur. Quam quidem naturam veram atque intimam habet, malam vero non tam naturam quam habitum quendam per defectum bonæ voluntatis adscititium.

εἰς τὸ τὴν κτίσιν ὁρᾶν, καὶ διὰ τῆς παναρμονίου ταύτης συντάξεως γινώσκειν τὸν δημιουργόν· ἔχοντος δὲ καὶ ἀκοὴν εἰς ἐπακρόασιν τῶν θείων λογίων καὶ τῶν τοῦ Θεοῦ νόμων· ἔχοντος δὲ καὶ χεῖρας, εἴς τε τὴν τῶν ἀναγκαίων ἐνέργειαν, καὶ ἔκτασιν τῆς πρὸς τὸν Θεὸν εὐχῆς, ἡ ψυχὴ ἀποστᾶσα τῆς πρὸς τὰ καλὰ θεωρίας, καὶ τῆς ἐν αὐτοῖς κινήσεως, λοιπὸν πλανωμένη κινεῖται εἰς τὰ ἐναντία. Εἶτα τὸ δυνατὸν ἑαυτῆς, ὡς προεῖπον, ὁρῶσα, καὶ τούτῳ καταχρωμένη, ἐνενόησεν ὅτι καὶ εἰς τὰ ἐναντία δύναται κινεῖν τὰ τοῦ σώματος μέλη· καὶ διὰ τοῦτο ἀντὶ τοῦ τὴν κτίσιν ὁρᾶν, εἰς ἐπιθυμίας τὸν ὀφθαλμὸν ἀποστρέφει, δεικνύουσα ὅτι καὶ τοῦτο δύναται· καὶ νομίζουσα, ὅτι ἅπαξ κινουμένη, σώζει τὴν ἑαυτῆς ἀξίαν, καὶ οὐχ ἁμαρτάνει ποιοῦσα ὃ δύναται· καὶ οὐκ εἰδυῖα ὅτι οὐχ ἁπλῶς κινεῖσθαι, ἀλλ' εἰς ἃ δεῖ κινεῖσθαι γέγονε·
1 Cor. vi. 12. *τούτου γὰρ χάριν καὶ ἀποστολικὴ παρεγγυᾷ φωνὴ, "πάντα "ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει."*

V. *Ἀλλὰ τῶν ἀνθρώπων ἡ τόλμα οὐκ εἰς τὸ συμφέρον καὶ πρέπον, ἀλλ' εἰς τὸ δυνατὸν σκοπήσασα, τὰ ἐναντία ποιεῖν ἤρξατο, ὅθεν καὶ τὰς χεῖρας εἰς τὸ ἐναντίον κινουμένη, φονεύειν πεποίηκε, καὶ τὴν ἀκοὴν εἰς παρακοὴν παρήγαγε, καὶ τὰ ἄλλα μέλη εἰς τὸ μοιχεύειν ἀντὶ νομίμης τεκνογονίας· καὶ τὴν μὲν γλῶτταν ἀντὶ εὐφημίας, εἰς βλασφημίας, καὶ λοιδορίας, καὶ ἐπιορκίας· τὰς δὲ χεῖρας αὖ πάλιν εἰς τὸ κλέπτειν καὶ τύπτειν τοὺς ὁμοίους ἀνθρώπους· καὶ τὴν μὲν ὄσφρησιν εἰς ὀδμῶν ἐρωτικῶν ποικιλίας· τοὺς δὲ πόδας εἰς ὀξύτητα τοῦ ἐκχέαι αἷμα· καὶ τὴν μὲν γαστέρα εἰς μέθην καὶ κόρον ἀπλήρωτον. Ἅπερ πάντα, κακία καὶ ἁμαρτία ψυχῆς ἐστίν· αἰτία δὲ τούτων οὐδεμία, ἀλλ' ἡ τῶν κρειττόνων ἀποστροφή. Ὡς γὰρ ἐὰν ἡνίοχος, ἐπιβὰς ἵπποις ἐν σταδίῳ, καταφρονήσῃ μὲν τοῦ σκοποῦ, εἰς ὃν ἐλαύνειν αὐτὸν προσήκει· ἀποστραφεὶς δὲ τοῦτον, ἁπλῶς*

38. *κινεῖσθαι γέγονε*] Accuratius scribendum erat *εἰς τὸ*, uti c. vii. 31, 32. observandum autem est S. Athanasium concinnitatis hujusmodi minime studiosum esse. Nusquam tamen ab usu grammatico recedit, nisi ubi hoc modo vim quandam brevitatis orationi conciliet. Hic maxime præpositionis vitat repetitionem.

39. *τούτου γὰρ*] Bodl. *τούτου δὴ*, nec male.

ἐλαύνῃ τὸν ἵππον ὡς ἂν δύνηται· δύναται δὲ, ὡς βούλεται· καὶ πολλάκις μὲν εἰς τοὺς ἀπαντῶντας ὁρμᾷ, πολλάκις δὲ καὶ κατὰ κρημνῶν ἐλαύνει, φερόμενος ὅπου δ' ἂν ἑαυτὸν τῇ ὀξύτητι τῶν ἵππων φέροι, νομίζων ὅτι οὕτω τρέχων οὐκ ἐσφάλη τοῦ σκοποῦ· πρὸς γὰρ μόνον τὸν δρόμον ἀποβλέπει, καὶ οὐχ ὁρᾷ, ὅτι ἔξω τοῦ σκοποῦ γέγονεν. Οὕτω καὶ ἡ ψυχὴ ἀποστραφεῖσα τὴν πρὸς τὸν Θεὸν ὁδὸν, καὶ ἐλαύνουσα παρὰ τὸ πρέπον τὰ τοῦ σώματος μέλη, μᾶλλον δὲ καὶ αὐτὴ μετ' αὐτῶν ὑφ' ἑαυτῆς ἐλαυνομένη, ἁμαρτάνει καὶ τὸ κακὸν ἑαυτῇ πλάττει, οὐχ ὁρῶσα ὅτι πεπλάνηται τῆς ὁδοῦ, καὶ ἔξω γέγονε τοῦ τῆς ἀληθείας σκοποῦ, εἰς ὃν ὁ χριστοφόρος ἀνὴρ ὁ μακάριος Παῦλος ἀποβλέπων ἔλεγε· "κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον "τῆς ἄνω κλήσεως Ἰησοῦ Χριστοῦ·" σκοπῶν γοῦν τὸ καλὸν ὁ Phil. iii. 14.
ἅγιος, οὐδέ ποτε τὸ κακὸν ἐποίει.

VI. Ἑλλήνων μὲν οὖν τινὲς πλανηθέντες τῆς ὁδοῦ, καὶ τὸν Χριστὸν οὐκ ἐγνωκότες, ἐν ὑποστάσει καὶ καθ' ἑαυτὴν εἶναι τὴν κακίαν ἀπεφήναντο ἁμαρτάνοντες κατὰ δύο ταῦτα· ἢ τὸν δημιουργὸν ἀποστεροῦντες τοῦ εἶναι ποιητὴν τῶν ὄντων· οὐκ ἂν γὰρ εἴη τῶν ὄντων κύριος, εἴ γε κατ' αὐτοὺς ἡ κακία ὑπόστασιν ἔχει καθ' ἑαυτὴν καὶ οὐσίαν· ἢ πάλιν θέλοντες αὐτὸν ποιητὴν εἶναι τῶν ὅλων, ἐξ ἀνάγκης καὶ τοῦ κακοῦ δώσουσιν εἶναι. Ἐν γὰρ τοῖς οὖσι καὶ τὸ κακὸν κατ' αὐτούς ἐστι. Τοῦτο δὲ ἄτοπον καὶ ἀδύνατον ἂν φανείη· οὐ γὰρ ἐκ τοῦ καλοῦ τὸ κακὸν, οὐδὲ ἐν αὐτῷ ἐστὶν, οὐδὲ δι' αὐτοῦ, ἐπεὶ οὐκέτι καλὸν ἂν εἴη μεμιγμένην ἔχον τὴν φύσιν, ἢ αἴτιον γινόμενον κακοῦ. Οἱ δὲ ἀπὸ τῶν αἱρέσεων, ἐκπεσόντες τῆς ἐκκλησιαστικῆς διδασκαλίας, καὶ περὶ τὴν πίστιν ναυαγήσαντες, καὶ οὗτοι μὲν

18. ἐλαύνει.] Ben. ἐλαύνῃ, sed notat in quatuor codicibus legi ἐλαύνει, quibus adstipulatur Bodl. Hoc vero aptius videtur, præsertim si sententia ad verbum δύναται, referatur, Πολλάκις enim hic est *fortasse*.

VI. 1. Ἑλλήνων] Notat Ben. hanc sententiam apud Græcos vix inveniri, nisi quod in Xen. Cyrop. l. vi. c. 1. §. 41. Araspas quidam se duas animas habere profiteatur, bonam alteram, alteram malam. Est quidem Orientalium potius quam Græcorum opinio, nomen vero Græcorum hic latius accipias pro Ethnicis.

ὑπόστασιν τοῦ κακοῦ παραφρονοῦσιν εἶναι. Ἀναπλάττονται δὲ ἑαυτοῖς παρὰ τὸν ἀληθινὸν τοῦ Χριστοῦ Πατέρα θεὸν ἕτερον, καὶ τοῦτον ἀγέννητον τοῦ κακοῦ ποιητὴν καὶ τῆς κακίας ἀρχηγὸν, τὸν καὶ τῆς κτίσεως δημιουργόν. Τούτους δὲ εὐχερῶς ἄν τις ἐλέγξειεν, ἔκ τε τῶν θείων γραφῶν, καὶ ἐξ αὐτῆς τῆς ἐν ἀνθρώποις διανοίας, ἀφ' ἧς καὶ ταῦτα ἀναπλασάμενοι μαίνονται. Ὁ μὲν οὖν Κύριος καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ἐν τοῖς ἑαυτοῦ εὐαγγελίοις φησὶ, βεβαιῶν τὰ Μωϋσέως ῥήματα, ὅτι "Κύριος ὁ Θεὸς εἷς ἐστί." Καὶ, "ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς." Εἰ δὲ εἷς ἐστιν ὁ Θεὸς, καὶ οὗτος οὐρανοῦ καὶ γῆς Κύριος, πῶς ἄλλος ἂν εἴη θεὸς παρὰ τοῦτον; ποῦ δὲ καὶ ἔσται ὁ κατ' αὐτοὺς θεὸς, τὰ πάντα τοῦ μόνου καὶ ἀληθινοῦ πληροῦντος κατὰ τὴν τοῦ οὐρανοῦ καὶ γῆς περίληψιν; πῶς δὲ καὶ ἄλλος ἂν εἴη ποιητὴς, ὧν αὐτὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Χριστοῦ ἐστὶ Κύριος κατὰ τὴν τοῦ Σωτῆρος φωνήν; Εἰ μὴ ἄρα ὡς ἐν ἰσοστασίῳ, καὶ τοῦ ἀγαθοῦ Θεοῦ τὸν φαῦλον δύνασθαι γενέσθαι κύριον εἴποιεν. Ἀλλ' ἐὰν τοῦτο λέγωσιν, ὅρα εἰς ὅσην ἀσέβειαν ἐκπίπτουσιν. Ἐν γὰρ τοῖς τὰ ἴσα δυναμένοις, τὸ ὑπερέχον καὶ κρεῖττον οὐκ ἂν εὑρεθείη. Καὶ γὰρ εἰ μὴ θέλοντος τοῦ ἑτέρου, τὸ ἕτερόν ἐστιν· ἴση ἀμφοτέρων ἡ δύναμις καὶ ἡ ἀσθένειά ἐστιν· ἴση μὲν, ὅτι νικῶσιν ἀλλήλων τὴν βούλησιν ἐν τῷ εἶναι. Ἀσθένεια δὲ ἀμφοτέρων ἐστὶν, ὅτι μὴ βουλομένοις αὐτοῖς παρὰ γνώμην ἀποβαίνει τὰ πράγματα· ἔστι γὰρ καὶ ὁ ἀγαθὸς παρὰ γνώμην τοῦ φαύλου, ἔστι καὶ ὁ φαῦλος παρὰ βούλησιν τοῦ ἀγαθοῦ.

Marc. xii. 29. Matt. xi. 25.

VII. Ἄλλως τε· καὶ τοῦτο γὰρ ἄν τις αὐτοῖς εἴποι· εἰ τὰ φαινόμενα ἔργα τοῦ φαύλου ἐστὶ, τί τὸ ἔργον τοῦ ἀγαθοῦ; φαίνεται γὰρ οὐδὲν πλὴν μόνης τῆς τοῦ δημιουργοῦ κτίσεως. Τί δὲ καὶ τοῦ εἶναι τὸν ἀγαθὸν γνώρισμα, οὐκ ὄντων αὐτοῦ ἔργων, δι' ὧν ἂν γνωσθείη; ἐκ γὰρ τῶν

18. δημιουργὸν] Hanc pravam opinionem passim apud SS. Patres notari invenies. Apud Gnosticos primo ipso seculo invaluit, latius vero postea per Manichæos propagata est.

27. ἀληθινοῦ] Bodl. et 1 ap. Ben. addunt Θεοῦ.

ἔργων ὁ δημιουργὸς γινώσκεται. Πῶς δὲ ὅλως καὶ δύο ἂν εἴη ἐναντία ἀλλήλων, ἢ τί τὸ διαιροῦν ἐστὶ ταῦτα, ἵνα χωρὶς ἀλλήλων γένωνται; εἶναι γὰρ αὐτὰ ἅμα ἀδύνατον, διὰ τὸ ἀναιρετικὰ ἀλλήλων εἶναι. Ἀλλ' οὐδὲ ἕτερον ἐν ἑτέρῳ δυνηθείη ἂν εἶναι, διὰ τὸ ἄμικτον καὶ ἀνόμοιον αὐτῶν τῆς φύσεως. Οὐκοῦν ἐκ τρίτου τὸ διαιροῦν φανήσεται, καὶ αὐτὸ θεός. Ἀλλὰ ποίας ἂν εἴη καὶ τὸ τρίτον φύσεως; πότερον τῆς τοῦ καλοῦ, ἢ τοῦ φαύλου; ἄδηλον φανήσεται· τῆς γὰρ ἀμφοτέρων εἶναι αὐτὸ, ἀδύνατον. Σαθρᾶς δὴ τοίνυν τῆς τοιαύτης αὐτῶν διανοίας φαινομένης, ἀνάγκη τὴν ἀλήθειαν διαλάμπειν τῆς ἐκκλησιαστικῆς γνώσεως· ὅτι τὸ κακὸν οὐ παρὰ Θεοῦ, οὐδὲ ἐν Θεῷ οὔτε ἐξ ἀρχῆς γέγονεν, οὔτε οὐσία τίς ἐστιν αὐτοῦ· ἀλλὰ ἄνθρωποι κατὰ στέρησιν τῆς τοῦ καλοῦ φαντασίας, ἑαυτοῖς ἐπινοεῖν ἤρξαντο καὶ ἀναπλάττειν τὰ οὐκ ὄντα, καὶ ἅπερ βούλονται. Ὡς γὰρ ἄν τις ἡλίου φαίνοντος, καὶ πάσης τῆς γῆς τῷ φωτὶ τούτου καταλαμπομένης, καμμύων τοὺς ὀφθαλμοὺς, σκότος ἑαυτῷ ἐπινοῇ οὐκ ὄντος σκότους, καὶ λοιπὸν ὡς ἐν σκότει πλανώμενος περιπατῇ, πολλάκις πίπτων καὶ κατὰ κρημνῶν ὑπάγων, νομίζων οὐκ εἶναι φῶς, ἀλλὰ σκότος· δοκῶν γὰρ βλέπειν, οὐδ' ὅλως ὁρᾷ· οὕτω καὶ ἡ ψυχὴ τῶν ἀνθρώπων καμμύσασα τὸν ὀφθαλμὸν, δι' οὗ τὸν Θεὸν ὁρᾶν δύναται, ἑαυτῇ τὰ κακὰ ἐπενόησεν, ἐν οἷς κινουμένη, οὐκ οἶδεν ὅτι δοκοῦσά τι ποιεῖν, οὐδὲν ποιεῖ· τὰ οὐκ ὄντα γὰρ ἀναπλάττεται, καὶ οὐχ ὁποία γέγονε τοιαύτη καὶ ἔμεινεν· ἀλλ' ὁποίαν ἑαυτὴν ἐνέφυρε, τοιαύτη καὶ φαίνεται. Γέγονε μὲν γὰρ εἰς τὸ ὁρᾶν τὸν Θεὸν, καὶ ὑπ' αὐτοῦ φωτίζεσθαι· αὕτη δὲ ἀντὶ τοῦ Θεοῦ, τὰ φθαρτὰ καὶ τὸ σκότος ἐζήτησεν, ὥς που καὶ τὸ Πνεῦμα ἐγγράφως φησίν· "ὁ Θεὸς τὸν ἄνθρω- Eccl. vii. 29.
"πον ἐποίησεν εὐθῆ, αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς." Κακίας δὴ οὖν εὕρεσις καὶ ἐπίνοια τοῖς ἀνθρώποις ἐξ ἀρχῆς οὕτω γέγονε καὶ πέπλασται. Πῶς δὲ καὶ εἰς τὴν τῶν εἰδώλων μανίαν καταβεβήκασιν, ἤδη λέγειν ἀναγκαῖον, ἵνα

VII. 24. περιπατεῖ] Ben. περιπατῇ, unum codicem secutus. Videtur autem sententia in indicativum transire per καὶ, idiomate Orientali.

γινώσκῃς, ὅτι ὅλως ἡ τῶν εἰδώλων εὕρεσις, οὐκ ἀπὸ ἀγαθοῦ, ἀλλ' ἀπὸ κακίας γέγονε. Τὸ δὲ τὴν ἀρχὴν ἔχον κακὴν ἐν οὐδενί ποτε καλὸν κριθείη, ὅλον ὂν φαῦλον.

VIII. Οὐκ ἀρκεσθεῖσα δὲ τῇ τῆς κακίας ἐπινοίᾳ τῶν ἀνθρώπων ἡ ψυχὴ, κατ' ὀλίγον καὶ εἰς τὰ χείρονα ἑαυτὴν ἐξάγειν ἤρξατο. Μαθοῦσα γὰρ διαφορὰς ἡδονῶν, καὶ ζωσαμένη τὴν τῶν θείων λήθην, ἡδομένη δὲ, καὶ πρὸς τὰ τοῦ σώματος πάθη, καὶ πρὸς μόνα τὰ παρόντα καὶ τὰς τούτων δόξας ἀποβλέπουσα, ἐνόμισε μηδὲν ἔτι πλέον εἶναι τῶν βλεπομένων, ἀλλὰ μόνα τὰ πρόσκαιρα καὶ τὰ σωματικὰ εἶναι τὰ καλά· ἀποστραφεῖσα δὲ καὶ ἐπιλαθομένη ἑαυτὴν εἶναι κατ' εἰκόνα τοῦ ἀγαθοῦ Θεοῦ, οὐκ ἔτι μὲν διὰ τῆς ἐν αὐτῇ δυνάμεως τὸν Θεὸν Λόγον, καθ' ὃν καὶ γέγονεν, ὁρᾷ· ἔξω δὲ ἑαυτῆς γενομένη, τὰ οὐκ ὄντα λογίζεται καὶ ἀνατυποῦται. Ἐπικρύψασα γὰρ ταῖς ἐπιπλοκαῖς τῶν σωματικῶν ἐπιθυμιῶν τὸ ὡς ἐν αὐτῇ κάτοπτρον, δι' οὗ μόνου ὁρᾶν ἠδύνατο τὴν εἰκόνα τοῦ Πατρὸς, οὐκέτι μὲν ὁρᾷ ἃ δεῖ ψυχὴν νοεῖν: παντὶ δὲ περιφέρεται, καὶ μόνα ἐκεῖνα ὁρᾷ τὰ τῇ αἰσθήσει προσπίπτοντα. Ὅθεν δὴ πάσης σαρκικῆς ἐπιθυμίας γέμουσα, καὶ ἐν ταῖς τούτων δόξαις ταραττομένη, λοιπὸν, ὃν ἐπελάθετο τῇ διανοίᾳ Θεὸν, τοῦτον ἐν σωματικοῖς καὶ αἰσθητοῖς ἀναπλάττεται, τοῖς φαινομένοις τὴν τοῦ Θεοῦ προσηγορίαν ἀνατιθεῖσα, καὶ μόνα ταῦτα δοξάζουσα, ἅπερ αὐτὴ βούλεται, καὶ ὡς ἡδέα ὁρᾷ. Προηγεῖται τοίνυν αἰτία τῆς εἰδωλολατρείας ἡ κακία· μαθόντες γὰρ οἱ ἄνθρωποι τὴν οὐκ οὖσαν κακίαν ἑαυτοῖς ἐπινοεῖν, οὕτω καὶ τοὺς οὐκ ὄντας θεοὺς ἑαυτοῖς ἀνεπλάσαντο. Οἷον δὲ εἴ τις εἰς βυθὸν καταδὺς, μηκέτι μὲν βλέποι τὸ φῶς, μηδὲ τὰ ἐν τῷ φωτὶ φαινόμενα, διὰ τὸ τῶν ὀφθαλμῶν αὐτοῦ πρὸς τὸ κάτω νεῦμα, καὶ τὴν τοῦ ὕδατος ἐπικειμένην ἐπίχυσιν αὐτῷ· μόνα δὲ τὰ ἐν τῷ βυθῷ αἰσθόμενος, νομίζοι πλέον μηδὲν ἐκείνων εἶναι, ἀλλ' αὐτὰ τὰ φαινόμενα αὐτῷ τῶν ὄντων εἶναι τὰ κύρια. Οὕτω καὶ οἱ πάλαι τῶν ἀνθρώ-

VIII. 15. παντὶ] Nescio an melius πάντῃ, quod facillimo errore mutari potuisset.

πων παράφρονες καταδύντες εἰς τὰς τῶν σαρκικῶν ἐπιθυμίας καὶ φαντασίας, καὶ ἐπιλαθόμενοι τῆς περὶ Θεοῦ ἐννοίας καὶ δόξης, ἀμυδρῷ τῷ λογισμῷ, μᾶλλον δὲ ἀλογίᾳ χρησάμενοι, τὰ φαινόμενα θεοὺς ἀνετυπώσαντο, τὴν κτίσιν παρὰ τὸν κτίσαντα δοξάζοντες, καὶ τὰ ἔργα μᾶλλον ἐκθειάζοντες, ἤπερ τὸν τούτων αἴτιον καὶ δημιουργὸν δεσπότην Θεόν. Ὥσπερ δὲ κατὰ τὸ προλεχθὲν παράδειγμα, οἱ εἰς τὸν βυθὸν καταδυόμενοι, ὅσῳ μᾶλλον ἐπικαταβαίνουσι, τοσοῦτον εἰς τὰ σκοτεινότερα καὶ βαθύτερα ὁρμῶσιν· οὕτω καὶ τὸ τῶν ἀνθρώπων πέπονθε γένος. Οὐ γὰρ ἁπλῆν ἔσχον τὴν εἰδωλολατρείαν, οὐδὲ ἀφ' ὧν ἤρξαντο, ἐν τούτοις καὶ διέμειναν· ἀλλ' ὅσον τοῖς πρώτοις ἐνεχρόνιζον, τοσοῦτον ἑαυτοῖς καινοτέρας ἐφεύρισκον δεισιδαιμονίας· καὶ κόρον οὐ λαμβάνοντες τῶν πρώτων, ἄλλοις πάλιν ἐνεπίμπλαντο κακοῖς, προκόπτοντες ἐν τοῖς αἰσχίστοις, καὶ πλεῖον ἑαυτῶν ἐπεκτείνοντες τὴν ἀσέβειαν. Τοῦτο δὲ καὶ ἡ θεία γραφὴ μαρτύρεται λέγουσα· "ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, "καταφρονεῖ." Prov. xviii. 3.

IX. *Ἄρτι γὰρ ἀπεπήδησεν ἡ διάνοια τῶν ἀνθρώπων ἀπὸ Θεοῦ, καὶ καταβαίνοντες ταῖς ἐννοίαις καὶ τοῖς λογισμοῖς οἱ ἄνθρωποι, πρώτοις οὐρανῷ καὶ ἡλίῳ καὶ σελήνῃ καὶ τοῖς ἄστροις τὴν τοῦ Θεοῦ τιμὴν ἀνέθηκαν, ἐκείνους οὐ μόνον θεοὺς εἶναι νομίζοντες, ἀλλὰ καὶ τῶν ἄλλων τῶν μετ' αὐτοὺς αἰτίους τυγχάνειν. Εἶτ' ἐπικαταβαίνοντες τοῖς σκοτεινοῖς λογισμοῖς, αἰθέρα καὶ τὸν ἀέρα καὶ τὰ ἐν τῷ ἀέρι προσηγόρευσαν θεούς. Προβαίνοντες δὲ τοῖς κακοῖς, ἤδη καὶ τὰ στοιχεῖα, καὶ τὰς ἀρχὰς τῆς τῶν σωμάτων συστάσεως, τὴν θερμὴν, καὶ τὴν ψυχρὰν, καὶ τὴν ξηρὰν, καὶ τὴν ὑγρὰν οὐσίαν θεοὺς ἀνύμνησαν. Ὡς δὲ οἱ τέλεον πεσόντες περὶ τὴν γῆν ἰλυσπῶνται δίκην τῶν ἐν τῇ χέρσῳ κοχλιῶν· οὕτως οἱ ἀσεβέστατοι τῶν ἀνθρώπων, πεσόντες καὶ καταπεσόντες ἀπὸ τῆς περὶ Θεοῦ φαντασίας, λοιπὸν καὶ ἀνθρώπους καὶ ἀνθρώπων μορφὰς, τῶν μὲν ἔτι ζώντων, τῶν δὲ καὶ μετὰ θάνατον εἰς θεοὺς ἀνέθηκαν. Ἔτι δὲ καὶ χείρονα βουλευόμενοι καὶ λογιζόμενοι, ἤδη δὲ καὶ εἰς*

R

λίθους, καὶ ξύλα καὶ ἑρπετὰ, ἔνυδρά τε καὶ χερσαῖα, καὶ εἰς τὰ τῶν ἀλόγων ἀνήμερα ζῶα, τὴν θείαν καὶ ὑπερκόσμιον τοῦ Θεοῦ προσηγορίαν μετήνεγκαν, πᾶσαν τιμὴν αὐτοῖς Θεοῦ ἀπονέμοντες, καὶ τὸν ἀληθινὸν καὶ ὄντως ὄντα Θεὸν τὸν τοῦ Χριστοῦ Πατέρα ἀποστρεφόμενοι. Εἴθε δὲ κἂν μέχρι τούτων εἱστήκει τῶν ἀφρόνων ἡ τόλμα, καὶ μὴ περαιτέρω βαίνοντες ἑαυτοὺς ταῖς ἀσεβείαις ἐνέφυρον. Τοσοῦτον γάρ τινες καταπεπτώκασι τῇ διανοίᾳ καὶ ἐσκοτίσθησαν τὸν νοῦν, ὥστε καὶ τὰ μηδ' ὅλως μηδαμῶς ὑπάρχοντα, μηδὲ ἐν τοῖς γενομένοις φαινόμενα, ὅμως ἑαυτοῖς ἐπινοῆσαι καὶ θεοποιῆσαι. Λογικὰ γὰρ ἀλόγοις ἐπιμίξαντες, καὶ ἀνόμοια τῇ φύσει ἐνείραντες, ὡς θεοὺς θρησκεύουσιν· οἷοί εἰσιν οἱ παρ' Αἰγυπτίοις κυνοκέφαλοι καὶ ὀφιοκέφαλοι καὶ ὀνοκέφαλοι, καὶ ὁ παρὰ Λίβυσι κριοκέφαλος Ἄμμων. Ἄλλοι δὲ τὰ μέρη τῶν σωμάτων, κεφαλὴν, καὶ ὦμον, καὶ χεῖρα, καὶ πόδα καθ' ἑαυτὰ διελόντες, ἕκαστον εἰς θεοὺς ἀνέθηκαν, καὶ ἐξεθείασαν, ὥσπερ οὐκ ἀρκούμενοι ἐξ ὁλοκλήρου τοῦ ὅλου σώματος ἔχειν τὴν θρησκείαν. Ἐπιτείνοντες δὲ τὴν ἀσέβειαν ἕτεροι, τὴν πρόφασιν τῆς τούτων εὑρέσεως καὶ τῆς ἑαυτῶν κακίας τὴν ἡδονὴν καὶ τὴν ἐπιθυμίαν θεοποιήσαντες προσκυνοῦσιν· οἷός ἐστιν ὁ παρ' αὐτοῖς Ἔρως, καὶ ἡ ἐν Πάφῳ Ἀφροδίτη. Οἱ δὲ αὐτῶν ὥσπερ φιλοτιμούμενοι τοῖς χείροσιν, ἐτόλμησαν τοὺς παρ' αὐτῶν ἄρχοντας ἢ καὶ τοὺς τούτων παῖδας εἰς θεοὺς ἀναθεῖναι, ἢ διὰ τιμὴν τῶν ἀρξάντων, ἢ διὰ φόβον τῆς αὐτῶν τυραννίδος, ὡς ὁ ἐν Κρήτῃ παρ' αὐτοῖς περιβόητος Ζεὺς, καὶ ὁ ἐν Ἀρκαδίᾳ Ἑρμῆς· καὶ παρὰ μὲν Ἰνδοῖς Διόνυσος, παρὰ δὲ Αἰγυπτίοις Ἶσις, καὶ Ὄσιρις, καὶ Ὧρος, καὶ ὁ νῦν Ἀδριανοῦ τοῦ Ῥωμαίων βασιλέως παιδικὸς Ἀντίνοος, ὃν καίπερ εἰδότες ἄνθρωπον, καὶ ἄνθρωπον οὐ σεμνὸν, ἀλλ' ἀσελγείας ἔμπλεω, διὰ φόβον τοῦ προστάξαντος σέβουσιν. Ἐπιδημήσας γὰρ Ἀδριανὸς τῇ χώρᾳ τῶν Αἰγυπτίων, τελευτήσαντα τὸν τῆς ἡδονῆς αὐτοῦ ὑπηρέτην Ἀντίνοον ἐκέλευσε θρησκεύεσθαι, αὐτὸς μὲν καὶ μετὰ θάνατον ἐρῶν τοῦ παιδός, ἔλεγχον δὲ ὅμως καθ' ἑαυτοῦ, καὶ γνώρισμα κατὰ πάσης εἰδωλολατρείας παρέχων, ὅτι

οὐκ ἄλλως ἐφευρέθη παρὰ τοῖς ἀνθρώποις αὕτη, ἢ δι' ἐπιθυμίαν τῶν πλασαμένων, καθὼς καὶ ἡ σοφία τοῦ Θεοῦ προμαρτύρεται λέγουσα· "ἀρχὴ πορνείας, ἐπίνοια εἰδώλων." Καὶ μήτοι θαυμάσῃς μηδὲ μακρὰν πίστεως εἶναι τὸ λεγόμενον νομίσῃς, ὅπου γε καὶ οὐ πολλῷ πρότερον, ἢ τάχα καὶ μέχρι νῦν ἡ Ῥωμαίων σύγκλητος τοὺς πώποτε αὐτῶν ἐξ ἀρχῆς ἄρξαντας βασιλέας, ἢ πάντας, ἢ οὓς ἂν αὐτοὶ βούλωνται καὶ κρίνωσι, δογματίζουσιν ἐν θεοῖς εἶναι, καὶ θρησκεύεσθαι θεοὺς γράφουσιν. Οἷς μὲν γὰρ ἀπεχθάνονται, τούτους ὡς πολεμίους τὴν φύσιν ὁμολογοῦσι, καὶ ἀνθρώπους ὀνομάζουσιν· οὓς δὲ καταθυμίους ἔχουσι, τούτους δι' ἀνδραγαθίαν θρησκεύεσθαι προστάττουσιν, ὥσπερ ἐπ' ἐξουσίας ἔχοντες τὸ θεοποιεῖν, αὐτοὶ ἄνθρωποι τυγχάνοντες, καὶ εἶναι θνητοὶ μὴ ἀρνούμενοι. Ἔδει δὲ θεοποιοῦντας αὐτοὺς μᾶλλον αὐτοὺς εἶναι θεούς· τὸ γὰρ ποιοῦν τοῦ ποιουμένου κρεῖττον εἶναι δεῖ, καὶ ὁ κρίνων τοῦ κρινομένου ἐξ ἀνάγκης ἄρχει, καὶ ὁ διδοὺς, πάντως ὃ ἔχει, χαρίζεται· ὥσπερ ἀμέλει καὶ πᾶς βασιλεὺς ὃ μὲν ἔχει χαρίζεται, τῶν δὲ λαμβανόντων κρείττων καὶ μείζων ἐστίν. Εἴπερ οὖν οὓς θέλουσιν αὐτοὶ, τούτους θεοὺς δογματίζουσιν εἶναι, ἔδει καὶ αὐτοὺς πρῶτον εἶναι θεούς. Ἀλλὰ τὸ θαυμαστόν ἐστιν τοῦτο, ὅτι αὐτοὶ ἀποθνήσκοντες ὡς ἄνθρωποι, ἐλέγχουσι τὴν ἑαυτῶν περὶ τῶν θεοποιηθέντων ὑπ' αὐτῶν ψῆφον εἶναι ψευδῆ.

X. Τοῦτο δὲ τὸ ἔθος, οὐ καινὸν, οὐδὲ ἀπὸ τῆς Ῥωμαίων ἤρξατο βουλῆς, ἀλλ' ἦν ἄνωθεν προγιγνόμενον, καὶ προμελετώμενον ἐπὶ τὴν τῶν εἰδώλων ἔννοιαν. Καὶ γὰρ οἱ πάλαι παρ' Ἕλλησι διαβεβοημένοι θεοὶ Ζεὺς, καὶ Ποσειδῶν, καὶ Ἀπόλλων, καὶ Ἥφαιστος, καὶ Ἑρμῆς, καὶ ἐν θηλείαις Ἥρα, καὶ Δήμητρα, καὶ Ἀθήνη, καὶ Ἄρτεμις, ταῖς Θησέως τοῦ παρὰ τοῖς Ἕλλησιν ἱστορουμένου διαταγαῖς ἐκρίθησαν λέγεσθαι θεοί· καὶ οἱ μὲν διαταξάμενοι, ὡς ἄνθρωποι ἀποθνήσκοντες, θρηνοῦνται· οὓς δὲ διετάξαντο, οὗτοι ὡς θεοὶ προσκυνοῦνται. Ὢ πολλῆς ἐναντιότητος καὶ μανίας. Τὸν

60. θρησκεύεσθαι] Ejusmodi senatusconsultum habes de Claudio, Tac. Ann. xii. 69, ubi vide Gabr. Brotierii annotationem.

διαταξάμενον εἰδότες, οὓς διετάξατο, προτιμῶσι. Καὶ εἴθε μέχρις ἀρρένων εἱστήκει τούτων ἡ εἰδωλομανία, καὶ μὴ εἰς θηλείας κατέφερον τὴν θείαν προηγορίαν. Καὶ γὰρ καὶ γυναῖκας, ἃς οὐδὲ εἰς κοινὴν περὶ πραγμάτων συμβουλίαν λαμβάνειν ἀσφαλὲς, ταύτας τῇ τοῦ Θεοῦ τιμῇ θρησκεύουσι καὶ σέβουσιν, ὡς αἱ μὲν παρὰ Θησέως διαταγεῖσαι, ἃς προειρήκαμεν, παρὰ δὲ Αἰγυπτίοις, Ἶσις, καὶ Κορὴ καὶ Νεωτέρα, καὶ παρ' ἄλλοις Ἀφροδίτη. Τὰ γὰρ τῶν ἄλλων ὀνόματα οὐδὲ λέγειν εὐαγὲς ἡγοῦμαι, πάσης χλεύης ὄντα μεστά. Πολλοὶ γὰρ οὐ μόνον ἐν τοῖς πάλαι, ἀλλὰ καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀποβαλόντες φίλτατα καὶ ἀδελφοὺς καὶ συγγενεῖς καὶ γυναῖκας· πολλαὶ δὲ καὶ ἄνδρας ἀποβαλοῦσαι, οὓς πάντας ἡ φύσις ἤλεγξεν ἀνθρώπους εἶναι θνητοὺς, τούτους καὶ ταύτας διὰ τὸ πολὺ περὶ αὐτῶν πένθος ἀναζωγραφήσαντες, καὶ θυσίας ἀναπλάσαντες, ἀνέθηκαν, οὓς οἱ μετὰ ταῦτα διὰ τὴν πλάσιν, καὶ τὴν τοῦ τεχνίτου φιλοτιμίαν θεοὺς ἐθρήσκευσαν, πρᾶγμα πάσχοντες οὐ κατὰ φύσιν. Οὓς γὰρ οἱ γονεῖς ὡς μὴ ὄντας θεοὺς ἐθρήνησαν· οὐκ ἂν γὰρ εἴπερ ᾔδεισαν αὐτοὺς θεοὺς, ὡς ἀπολομένους ἐκόψαντο· τούτου γὰρ χάριν οὐ μόνον οὐ νομίζοντες αὐτοὺς εἶναι θεοὺς, ἀλλὰ μηδ' ὅλως ὑπάρχειν, ἐν εἰκόνι τούτους ἐτυπώσαντο· ἵνα τοῦ μηκέτι εἶναι, τὴν διὰ τῆς εἰκόνος δόκησιν ὁρῶντες, παραμυθῶνται. Τούτοις ὅμως οἱ ἄφρονες ὡς θεοῖς εὔχονται, καὶ τὴν τοῦ ἀληθινοῦ Θεοῦ τιμὴν τούτοις περιτιθέασιν. Ἐν γοῦν Αἰγύπτῳ εἰσέτι καὶ νῦν ὁ περὶ Ὀσίρεως, καὶ Ὥρου, καὶ Τύφωνος, καὶ τῶν ἄλλων θρῆνος τῆς ἀπωλείας ἐπιτελεῖται. Καὶ τὰ ἐν Δωδώνῃ χαλκεῖα, καὶ οἱ ἐν Κρήτῃ Κορύβαντες, τὸν Δία μὴ εἶναι θεὸν ἐλέγχουσιν, ἀλλ' ἄνθρωπον, καὶ τοῦτον ἐκ πατρὸς ὠμοβόρου γενόμενον. Καὶ τόγε θαυμαστὸν, ὅτι καὶ ὁ πάνυ παρ' Ἕλλησι σοφὸς καὶ πολλὰ καυχησάμενος, ὡς περὶ Θεοῦ διανοηθεὶς, ὁ Πλάτων, εἰς τὸν Πειραῖα μετὰ

36. Ὀσίρεως] De Osiride a Typhone occiso et discerpto plenius disserit Plutarchus in libro de Iside et Osiride.

42. Πλάτων] Qui quidem superstitiones a prioribus traditas haud obscure carpebat, ita tamen ut cul-

Σωκράτους κατέρχεται, τὴν ἀνθρώπου τέχνῃ πλασθεῖσαν Ἄρτεμιν προσκυνήσων.

XI. Ταύτας δὲ καὶ τὰς τοιαύτας τῆς εἰδωλομανίας εὑρέσεις, ἄνωθεν καὶ πρὸ πολλοῦ προεδίδασκεν ἡ γραφὴ λέγουσα· "ἀρχὴ πορνείας, ἐπίνοια εἰδώλων· εὕρεσις δὲ αὐτῶν, Sap. xiv. 12—21. "φθορὰ ζωῆς. Οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα "ἔσται. Κενοδοξίᾳ γὰρ ἀνθρώπων ἦλθεν εἰς τὸν κόσμον, "καὶ διὰ τοῦτο σύντομον αὐτῶν τέλος ἐπενοήθη. Ἀώρῳ "γὰρ πένθει τρυχόμενος πατὴρ, τοῦ ταχέως ἀφαιρεθέντος "τέκνου εἰκόνα ποιήσας, τὸν τότε νεκρὸν ἄνθρωπον, νῦν ὡς "ζῶντα ἐτίμησε, καὶ παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια "καὶ τελετάς. Εἶτ' ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος, "ὡς νόμος ἐφυλάχθη. Καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο "τὰ γλυπτὰ, οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι, "διὰ τὸ μακρὰν οἰκεῖν, τὴν πόρρωθεν ὄψιν ἀνατυπωσάμενοι, "ἐμφανῆ εἰκόνα τοῦ τετιμημένου βασιλέως ἐποίησαν, ἵνα "τὸν ἀπόντα ὡς παρόντα κολακεύωσι διὰ τῆς σπουδῆς. Εἰς "ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας ἡ τοῦ τεχνίτου "προετρέψατο φιλοτιμία· ὁ μὲν γὰρ ἴσως τῷ κρατοῦντι "βουλόμενος ἀρέσαι, ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα "ἐπὶ τὸ κάλλιον· τὸ δὲ πλῆθος ἐφελκόμενον διὰ τὸ εὔχαρι "τῆς ἐργασίας, τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον, νῦν "σέβασμα ἐλογίσαντο· καὶ τοῦτο ἐγεγόνει τῷ βίῳ εἰς ἔνεδρον. "Ὅτι ἢ συμφορᾷ ἢ τυραννίδι δουλεύσαντες ἄνθρωποι, τὸ "ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθηκαν." Τοιαύτης τοίνυν τῆς τῶν εἰδώλων εὑρέσεως ἐπὶ μάρτυρι τῇ γραφῇ παρὰ τοῖς ἀνθρώποις ἀρξαμένης καὶ ἀναπλασθείσης, ὥρα

tum exteriorem minime turbaret. De Deo autem scientiam ita profitebatur ut ignorantiam simul fateretur, revelationem vero a Deo ipso speraret. Gloriabantur fortasse cæteri Platonem omnia intellexisse, Plato autem, omnium facile princeps, hoc ipso sacrificio ignorantiam suam conscius et volens testabatur.

XI. 2. ἡ γραφὴ] Ne ita intelligas ut hunc librum a S. Athanasio putes pro canonico receptum fuisse, quod ipse diserte negat, tum in fragmento Epistolæ festalis xxxix, tum in Synopsi Scripturæ Sacræ. Testatur vero ibidem constitutum fuisse in Ecclesia ut liber iste, æque ac sapientia Siracidæ Catechumenis legeretur. Vide Canonem SS. Apost. ultimum.

4. ἦν] Scilicet idola, i. e. dii quorum idola colebantur.

λοιπόν σοι καὶ τὸν κατ' αὐτῆς ἔλεγχον ἀποδεῖξαι, οὐ τοσοῦτον ἔξωθεν, ὅσον ἀφ' ὧν οὗτοι περὶ αὐτῶν φρονοῦσι τὰ τεκμήρια λαμβάνοντας· εἰ γάρ τις τῶν παρ' αὐτοῖς λεγομένων θεῶν, ἵνα πρῶτον ἀπὸ τούτων τῶν κάτωθεν ἄρξωμαι, λάβοι τὰς πράξεις, εὑρήσει μὴ μόνον οὐκ εἶναι αὐτοὺς θεοὺς, ἀλλὰ καὶ τῶν ἀνθρώπων τοὺς αἰσχίστους γεγονότας. Οἷον γὰρ, οἷόν ἐστιν ἰδεῖν τοὺς παρὰ ποιηταῖς τοῦ Διὸς ἔρωτας καὶ τὰς ἀσελγείας; οἷόν ἐστιν αὐτὸν ἀκούειν, ἁρπάζοντα μὲν τὸν Γανυμήδην, καὶ τὰς κλοπιμαίους ἐργαζόμενον μοιχείας, δεδιότα δὲ καὶ δειλιῶντα μὴ παρὰ γνώμην αὐτοῦ τὰ τῶν Τρώων ἀπόληται τείχη; οἷόν ἐστιν ἰδεῖν αὐτὸν ἀχθόμενον ἐπὶ τῷ θανάτῳ τοῦ υἱέος αὐτοῦ Σαρπηδόνος, καὶ βουλόμενον αὐτῷ βοηθῆσαι καὶ μὴ δυνάμενον· καὶ ἐπιβουλευόμενον μὲν ὑπὸ τῶν ἄλλων λεγομένων θεῶν, Ἀθηνᾶς δὴ λέγω καὶ Ἥρας καὶ Ποσειδῶνος, βοηθούμενον δὲ ὑπὸ Θέτιδος γυναικὸς καὶ τοῦ ἑκατονταχείρου Αἰγαίωνος· καὶ νικώμενον ὑπὸ ἡδονῶν, δουλεύοντα δὲ γυναιξὶ, καὶ δι' αὐτὰς ἐν ἀλόγοις ζώοις τετράποσί τε καὶ πτηνοῖς ταῖς φαντασίαις παρακινδυνεύοντα· καὶ πάλιν αὐτὸν μὲν κρυπτόμενον διὰ τὴν τοῦ πατρὸς ἐπιβουλὴν, τὸν δὲ Κρόνον ὑπ' αὐτοῦ δεσμευόμενον, κἀκεῖνον ἀποτέμνοντα τὸν πατέρα; ἆρ' οὖν ἄξιον τοῦτον ὑπονοεῖν θεὸν, τοσαῦτα δράσαντα, καὶ διαβληθέντα, ἃ μηδὲ οἱ κοινοὶ Ῥωμαίων νόμοι καὶ τοὺς ἁπλῶς ἀνθρώπους ἐπιτρέπουσι ποιεῖν;

XII. Ἵνα γὰρ ἐκ πολλῶν ὀλίγα μνημονεύσω διὰ τὸ πλῆθος, τίς ἰδὼν αὐτοῦ τὴν εἰς Σεμέλην, καὶ Λήδαν, καὶ Ἀλκμήνην, καὶ Ἄρτεμιν, καὶ Λητὼ, καὶ Μαῖαν, καὶ Εὐρώπην, καὶ Δανάην, καὶ Ἀντιόπην παρανομίαν καὶ φθοράν· ἢ τίς ἰδὼν τὴν εἰς τὴν ἰδίαν ἀδελφὴν αὐτοῦ ἐπιχείρησιν καὶ τόλμαν, ὅτι τὴν αὐτὴν ἀδελφὴν εἶχε καὶ γυναῖκα, οὐκ ἂν χλευάσειε,

39. ἐπιβουλευόμενον] Il. i. 399. Cætera quoque fere omnia apud Homerum invenies, qui quamvis Jovis consilium toto bello perfectum perhibeat, id tamen ita factum narrat ut Jovem falli et decipi non semel prædicet. Multa quidem vere docet Homerus, tum de religione, tum de officiis hominum, veritatis autem quod traditum adhuc tenebant Ethnici mythologiam ipsorum confutabat. Unde etiam Plato poetarum genus a republica sua arcendum censuit.

καὶ ζημιώσειε θανάτῳ; ὅτι μὴ μόνον ἐμοίχευσεν, ἀλλὰ καὶ τοὺς ἐκ τῆς μοιχείας γενομένους αὐτῷ παῖδας θεοποιήσας ἀνέθηκεν, ἐπικάλυμμα τῆς παρανομίας αὐτοῦ, τὴν τῆς θεοποιίας φαντασίαν κατασκευάζων· ὧν εἰσὶ Διόνυσος, καὶ Ἡρακλῆς, καὶ Διόσκουροι, καὶ Ἑρμῆς, καὶ Περσεύς, καὶ Σώτειρα. Τίς ἰδὼν τὴν τῶν λεγομένων θεῶν ἀκατάλλακτον πρὸς ἑαυτοὺς ἔριν ἐν Ἰλίῳ τῶν Ἑλλήνων καὶ τῶν Τρώων χάριν, οὐ καταγνώσεται τῆς ἀσθενείας αὐτῶν; ὅτι διὰ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, καὶ τοὺς ἀνθρώπους παρώξυναν. Τίς ἰδὼν ὑπὸ μὲν Διομήδους τιτρωσκομένους Ἄρεα καὶ Ἀφροδίτην, ὑπὸ δὲ Ἡρακλέους τὴν Ἥραν καὶ τὸν Ὑποχθόνιον, ὃν καλοῦσι θεὸν, Ἀϊδωνέα, καὶ Διόνυσον μὲν ὑπὸ Περσέως, Ἀθηνᾶν δὲ ὑπὸ Ἀρκάδος, καὶ τὸν Ἥφαιστον ῥιπτόμενον καὶ χωλαίνοντα, οὐ καταγνώσεται τῆς φύσεως, καὶ ἀποστραφήσεται μὲν τοῦ λέγειν αὐτοὺς ἔτι εἶναι θεούς; φθαρτοὺς δὲ καὶ παθητοὺς αὐτοὺς ἀκούων, οὐδὲν ἄλλο ἢ ἀνθρώπους αὐτοὺς, καὶ ἀνθρώπους ἀσθενεῖς ἐπιγνώσεται, καὶ μᾶλλον τοὺς τρώσαντας ἢ τοὺς τρωθέντας θαυμάσειεν. Ἢ τίς ἰδὼν τὴν Ἄρεος πρὸς Ἀφροδίτην μοιχείαν, καὶ τὸν Ἡφαίστου κατ᾽ ἀμφοτέρων κατασκευαζόμενον δόλον, καὶ τοὺς ἄλλους λεγομένους θεοὺς ἐπὶ θέαν τῆς μοιχείας ὑπὸ τοῦ Ἡφαίστου καλουμένους, καὶ αὐτοὺς ἐρχομένους, καὶ ὁρῶντας αὐτῶν τὴν ἀσέλγειαν, οὐκ ἂν γελάσειε, καὶ καταγνώσεται τῆς φαυλότητος αὐτῶν; ἢ τίς οὐκ ἂν γελάσειεν, ὁρῶν τὴν Ἡρακλέους πρὸς τὴν Ὀμφάλην ἐκ μέθης παραφροσύνην καὶ ἀσωτίαν; τὰς γὰρ καθ᾽ ἡδονὴν αὐτῶν πράξεις, καὶ τοὺς παραλόγους αὐτῶν ἔρωτας, καὶ τὰς ἐν χρυσῷ καὶ ἀργύρῳ, καὶ χαλκῷ καὶ σιδήρῳ, καὶ λίθοις καὶ ξύλοις θεοπλαστίας, οὐ δεῖ διελέγχειν μετὰ σπουδῆς, τῶν πραγμάτων καὶ ἀφ᾽ ἑαυτῶν ἐχόντων τὸ μῦσος, καὶ δι᾽ ἑαυτῶν ἐπιδεικνυμένων τὸ τῆς πλανῆς γνώρισμα· ἐφ᾽ οἷς μάλιστα καὶ οἰκτειρήσειεν ἄν τις τοὺς ἀπατωμένους ἐν αὐτοῖς. Τῇ γὰρ ἑαυτῶν γυναικὶ μισοῦντες τὸν ἐπιβαίνοντα μοιχὸν, τοὺς τῆς μοιχείας

XII. 12. Σώτειρα] Notat Ben. partutientibus ad opem salutarem Dianam significari, quippe quæ a ferendam invocaretur.

διδασκάλους θεοποιοῦντες οὐκ αἰσχύνονται· καὶ ταῖς ἀδελφαῖς αὐτοὶ οὐκ ἐπιμιγνύμενοι, τοὺς τοῦτο ποιήσαντας προσκυνοῦσι· καὶ ὁμολογοῦντες εἶναι κακὸν τὴν παιδοφθορίαν, τοὺς ἐπὶ ταύτῃ διαβαλλομένους θρησκεύουσι· καὶ ἃ μηδὲ ἐν ἀνθρώποις εἶναι ἐπιτρέπουσιν οἱ νόμοι, ταῦτα τοῖς ὑπ' αὐτῶν ὀνομαζομένοις θεοῖς περιτιθέντες οὐκ ἐρυθριῶσιν.

XIII. Εἶτα *προσκυνοῦντες λίθοις καὶ ξύλοις, οὐχ ὁρῶσιν, ὅτι τὰ μὲν ὅμοια τοῖς ποσὶ πατοῦσι καὶ καίουσι.* Τὰ *δὲ τούτων μέρη θεοὺς προσαγορεύουσι· καὶ ἃ πρὸ ὀλίγου εἰς χρῆσιν εἶχον, ταῦτα διὰ παραφροσύνην γλύψαντες σέβουσιν· οὐχ ὁρῶντες, οὐδὲ* λογι*ζόμενοι τὸ σύνολον, ὅτι οὐ θεούς,* ἀλλὰ *τὴν τέχνην τοῦ γλύψαντος προσκυνοῦσιν.* Ἕως *μὲν γὰρ ἄξυστός ἐστιν ὁ* λίθος, *καὶ ἡ ὕλη ἀργή, ἐπὶ τοσοῦτον ταῦτα πατοῦσι, καὶ τούτοις εἰς ὑπηρεσίας τὰς ἑαυτῶν πολλάκις καὶ τὰς ἀτιμοτέρας χρῶνται.* Ἐπειδὰν *δὲ ὁ τεχνίτης εἰς αὐτὰ τῆς ἰδίας ἐπιστήμης ἐπιβάλῃ τὰς συμμετρίας, καὶ ἀνδρὸς ἢ γυναικὸς εἰς τὴν ὕλην σχῆμα τυπώσῃ, τότε δὴ χάριν ὁμολογήσαντες τῷ τεχνίτῃ,* λοιπὸν *ὡς θεοὺς προσκυνοῦσι, μισθοῦ παρὰ τοῦ γλύψαντος αὐτοὺς ἀγοράσαντες.* Πολλάκις *δὲ καὶ αὐτὸς ὁ ἀγαλματοποιός, ὥσπερ ἐπιλαθόμενος ὧν αὐτὸς εἰργάσατο, τοῖς ἰδίοις ἔργοις προσεύχεται· καὶ ἃ πρὸ ὀλίγου κατέξεε καὶ κατέκοπτε, ταῦτα μετὰ τὴν τέχνην θεοὺς προσαγορεύει.* Ἔδει *δέ, εἴπερ ἦν θαυμάζειν ταῦτα, τὴν τοῦ ἐπιστήμονος τέχνην ἀποδέχεσθαι, καὶ μὴ τὰ ὑπ' αὐτοῦ πλασθέντα τοῦ πεποιηκότος προτιμᾶν.* Οὐ *γὰρ ἡ ὕλη τὴν τέχνην, ἀλλ' ἡ τέχνη τὴν ὕλην ἐκόσμησε καὶ ἐθεοποίησε.* Πολλῷ *οὖν μᾶλλον δικαιότερον ἦν τὴν τεχνίτην αὐτοὺς προσκυνεῖν, ἤπερ τὰ ὑπ' αὐτοῦ πεποιημένα, ὅτι τε καὶ προϋπῆρχε τῶν ἐκ τέχνης θεῶν· καὶ ὅτι ὡς ἠβουλήθη, οὕτω καὶ γεγόνασι.* Νῦν *δὲ παραγκωνισάμενοι τὸ δίκαιον, καὶ τὴν ἐπιστήμην καὶ τὴν τέχνην ἀτιμάσαντες, τὰ μετ' ἐπιστήμης καὶ τέχνης γεγονότα προσκυνοῦσι· καὶ τοῦ ποιήσαντος ἀνθρώπου ἀποθνήσκοντος, τὰ ὑπ' αὐτοῦ γενόμενα, ὡς ἀθάνατα τιμῶσιν· ἃ εἰ μὴ τύχοιεν τῆς καθ' ἡμέραν ἐπιμελείας, πάντως τῷ χρόνῳ διὰ τὴν φύσιν ἀφανί-*

ζονται. Πῶς δὲ οὐκ ἄν τις αὐτοὺς οἰκτειρήσειε καὶ κατὰ τοῦτο, ὅτι βλέποντες αὐτοὶ τοῖς μὴ βλέπουσι προσκυνοῦσι, καὶ ἀκούοντες αὐτοὶ τοῖς μὴ ἀκούουσι προσεύχονται· καὶ ἔμψυχοι καὶ λογικοὶ κατὰ φύσιν ὄντες οἱ ἄνθρωποι, τοὺς μηδ' ὅλως κινουμένους, ἀλλὰ καὶ ἀψύχους ὄντας, ὡς θεοὺς προσαγορεύουσι· καὶ τόγε θαυμαστὸν, ὅτι οὓς αὐτοὶ φυλάττουσιν ὑπ' ἐξουσίαν ἔχοντες, τούτοις ὡς δεσπόταις δουλεύουσι; καὶ μήτοι νομίσῃς ταῦτά με λέγειν ἁπλῶς, ἢ ψεύδεσθαι κατ' αὐτῶν· ἔστι μὲν γὰρ καὶ τοῖς ὀφθαλμοῖς ἡ πίστις ἀπαντῶσα τούτων, καὶ πάρεστι τοῖς βουλομένοις ὁρᾶν τὰ τοιαῦτα.

XIV. *Κρείττων δὲ μαρτυρία περὶ τούτων ἐστὶ καὶ παρὰ τῆς θείας γραφῆς προδιδασκούσης ἄνωθεν καὶ λεγούσης· "τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν "ἀνθρώπων· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται· στόμα "ἔχουσι, καὶ οὐ λαλήσουσιν. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσον- "ται, ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρήσονται. Χεῖρας ἔχουσι, "καὶ οὐ ψηλαφήσουσιν· πόδας ἔχουσι, καὶ οὐ περιπατήσου- "σιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς "γένοιντο οἱ ποιοῦντες αὐτά." Οὐδὲ προφητικὴ δὲ τούτων ἄπεστι μέμψις, ἀλλ' ἔστι καὶ ἐν τούτοις ὁ κατ' αὐτῶν ἔλεγχος, λέγοντος τοῦ Πνεύματος· "Αἰσχυνθήσονται οἱ πλάσ- "σοντες θεὸν, καὶ γλύφοντες πάντες μάταια· καὶ πάντες "ὅθεν ἐγένοντο, ἐξηράνθησαν· καὶ κωφοὶ ἀπὸ ἀνθρώπων "συναχθήτωσαν πάντες, καὶ στήτωσαν ἅμα, καὶ ἐντραπή- "τωσαν καὶ αἰσχυνθήτωσαν ἅμα· ὅτι ὤξυνε τέκτων σίδηρον, "καὶ σκεπάρνῳ εἰργάσατο αὐτὸ, καὶ ἐν τερέτρῳ ἐρρύθμισεν "αὐτὸ, καὶ ἔστησεν αὐτὸ τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ· "καὶ πεινάσει, καὶ ἀσθενήσει καὶ οὐ μὴ πίῃ ὕδωρ. Ξύλον "γὰρ ἐκλεξάμενος τέκτων, ἔστησεν αὐτὸ ἐν μέτρῳ, καὶ "ἐν κόλλῃ ἐρρύθμισεν αὐτὸ, καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν*

XIV. 13. *ἀπὸ ἀνθρώπων*] *Ex hominibus*, sensu præpositionis Orientali. Partis quidem notionem primariam esse contendit Gesenius in Hebraico, מִן. Surdi vero nomen, a tundendo derivatum, a nomine ejusdem originis fabrum denotante, vocalibus solis distinguitur; confer versionem Anglicam, necnon Es. xxix. 18.

“ ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου, ἔστησεν αὐτὸ ἐν “ οἴκῳ, ὃ ἔκοψε ξύλον ἐκ τοῦ δρυμοῦ, καὶ ὃ ἐφύτευσεν ὁ “ Κύριος, καὶ ὑετὸς ἐμήκυνεν, ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν, “ καὶ λαβὼν ἀπ' αὐτοῦ θερμανθῇ, καὶ καύσαντες ἔπεψαν “ ἄρτους ἐπ' αὐτῷ, τὸ δὲ λοιπὸν εἰργάσαντο εἰς θεοὺς, “ καὶ προσεκύνησαν αὐτοῖς, οὗ τὸ ἥμισυ αὐτοῦ κατέκαυσαν “ πυρί. Καὶ ἐπὶ τοῦ ἡμίσους αὐτοῦ κρέας ὀπτήσας, ἔφαγε “ καὶ ἐνεπλήσθη· καὶ θερμανθεὶς, εἶπεν· ἥδυ μοι, ὅτι ἐθερ-“ μάνθην καὶ εἶδον πῦρ. Τὸ δὲ λοιπὸν προσεκύνει λέγων, “ ἐξελοῦ με, ὅτι θεός μου εἶ σύ. Οὐκ ἔγνωσαν φρονῆσαι, “ ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν, “ καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ· καὶ οὐκ ἀνελογίσατο ἐν “ τῇ καρδίᾳ αὐτοῦ· οὐδὲ ἀνελογίσατο τῇ ψυχῇ αὐτοῦ, “ οὐδὲ ἔγνω τῇ φρονήσει, ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν “ ἐν πυρὶ, καὶ ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους, καὶ “ ὀπτήσας κρέας ἔφαγε, καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα “ ἐποίησε, καὶ προσκυνοῦσιν αὐτό. Γνῶτε ὅτι σποδὸς ἡ “ καρδία αὐτῶν, καὶ πλανῶνται. Καὶ οὐδεὶς δύναται ἐξε-“ λέσθαι τὴν ψυχὴν αὐτῶν. Ἴδετε καὶ οὐκ ἐρεῖτε, ὅτι “ ψεῦδος ἐν τῇ δεξιᾷ μου.” Πῶς οὖν οὐκ ἄθεοι παρὰ πᾶσι κριθεῖεν, οἳ καὶ παρὰ τῆς θείας γραφῆς ἀσεβείας κατηγορούμενοι; ἢ πῶς οὐκ ἂν εἶεν κακοδαίμονες, οἱ οὕτω φανερῶς ἐλεγχόμενοι τὰ ἄψυχα θρησκεύοντες ἀντὶ τῆς ἀληθείας; Ποία δὲ τούτοις ἐλπίς; ἢ τίς ἂν αὐτοῖς γένοιτο συγγνώμη, πεποιθόσιν ἐπὶ τὰ ἄλογα καὶ ἀκίνητα, ἃ ἀντὶ τοῦ ἀληθινοῦ Θεοῦ σέβουσιν;

XV. Εἴθε γὰρ, εἴθε κἂν χωρὶς σχήματος αὐτοῖς τοὺς θεοὺς ἔπλαττεν ὁ τεχνίτης, ἵνα μὴ τῆς ἀναισθησίας φανερὸν ἔχωσι τὸν ἔλεγχον. Ὑπέκλεψαν γὰρ ἂν τὴν ὑπόνοιαν τῶν ἀκεραίων, ὡς αἰσθανομένων τῶν εἰδώλων, εἰ μὴ τὰ σύμ-

XV. 1. *εἴθε*] Aut ironice loquitur, (neque enim deesse mallet impietati ludibrium,) aut populum indicat malo minore laboraturum fuisse nisi ipsa etiam idola sensu prædita credidisset. Confer autem C. xvii. l. 17.

4. *αἰσθανομένων*] Ita Bodl. Ben. *αἰσθομένων*, quod ita defendi possit, si intellexeris de ipso quolibet adorandi actu.

βολα τῶν αἰσθήσεων, οἷον ὀφθαλμοὺς, καὶ ῥῖνας, καὶ ὦτα, καὶ χεῖρας, καὶ στόμα εἶχον ἀκινήτως κείμενα πρὸς τὴν τῆς αἰσθήσεως χρῆσιν, καὶ τὴν τῶν αἰσθητῶν ἀντίληψιν. Νῦν δὲ ἔχοντες οὐκ ἔχουσι, καὶ στήκοντες οὐ στήκουσι, καὶ καθεζόμενοι οὐ καθέζονται· οὐ γὰρ ἔχουσι τούτων τὴν ἐνέργειαν, ἀλλ' ὡς ὁ πλάσας ἠθέλησεν, οὕτω καὶ μένουσι κείμενοι, Θεοῦ μὲν γνώρισμα μηδὲν παρέχοντες, ἄψυχοι δὲ καθόλου μόνον ἀνθρώπου τέχνῃ φαινόμενοι τεθέντες. Εἴθε δὲ καὶ οἱ τῶν τοιούτων ψευδοθέων κήρυκες καὶ μάντεις, ποιητὰς λέγω καὶ συγγραφεῖς, ἁπλῶς θεοὺς αὐτοὺς εἶναι γεγραφήκεισαν, ἀλλὰ μὴ καὶ τὰς πράξεις αὐτῶν πρὸς ἔλεγχον ἀθεότητος καὶ αἰσχροποιοῦ πολιτείας ἀναγεγραφήκεισαν. Ἠδύναντο γὰρ καὶ μόνῳ τῷ τῆς θεότητος ὀνόματι τὴν ἀλήθειαν ὑφαρπάσαι, μᾶλλον δὲ τοὺς πολλοὺς ἀπὸ τῆς ἀληθείας πλανῆσαι. Νῦν δὲ ἔρωτας καὶ ἀσελγείας διηγούμενοι τοῦ Διὸς, καὶ παιδοφθορίας τῶν ἄλλων, καὶ ζηλοτυπίας πρὸς ἡδονὴν τῶν θηλειῶν, καὶ φόβους καὶ δειλίας, καὶ τὰς ἄλλας κακίας, οὐδὲν ἄλλο, ἢ ἑαυτοὺς ἐλέγχουσιν, ὅτι οὐ μόνον οὐ περὶ θεῶν διηγοῦνται, ἀλλ' οὐδὲ περὶ ἀνθρώπων σεμνῶν, περὶ δὲ αἰσχρῶν καὶ τοῦ καλοῦ μακρὰν ὄντων μυθολογοῦσιν.

XVI. Ἀλλ' ἴσως περὶ τούτων οἱ δυσσεβεῖς ἐπὶ τὴν ἰδιότητα τῶν ποιητῶν καταφεύξονται, λέγοντες τῶν ποιητῶν ἴδιον εἶναι χαρακτῆρα, τὰ μὴ ὄντα πλάττεσθαι καὶ ψεύδεσθαι περὶ μύθων εἰς ἡδονὴν τῶν ἀκουόντων, οὗ χάριν καὶ τὰ περὶ θεῶν αὐτοὺς πεποιηκέναι φήσουσιν. Ἀλλ' αὕτη καὶ πάντων μᾶλλον ἡ πρόφασις αὐτοῖς ἕωλος δειχθήσεται, ἀφ' ὧν αὐτοὶ περὶ τούτων ἔχουσι δόξαν, καὶ προτίθενται. Εἰ γὰρ τὰ παρὰ ποιηταῖς ἐστὶ πλάσματα καὶ ψευδῆ, ψευδὴς ἂν εἴη καὶ αὐτὴ ἡ περὶ τοῦ Διὸς καὶ Κρόνου, καὶ Ἥρας, καὶ Ἄρεος, καὶ τῶν ἄλλων ὀνομασία. Ἴσως γὰρ, ὡς αὐτοί φασι, καὶ τὰ ὀνόματα πέπλασται, καὶ οὐκ ἔστι μὲν ὅλως Ζεὺς, οὐδὲ Κρόνος, οὐδὲ Ἄρης, πλάττονται δὲ τούτους, ὡς ὄντας, οἱ ποιηταὶ πρὸς ἀπάτην τῶν ἀκουόντων·

XVI. 9. ψευδὴς ἂν εἴη] Scil. omni auctoritate destitueretur.

πλαττόντων δὲ τῶν ποιητῶν τὰ μὴ ὄντα, πῶς ὡς ὄντας αὐτοὺς θρησκεύουσιν; Ἢ ἴσως γὰρ ἂν πάλιν φήσουσι, τὰ μὲν ὀνόματα οὐ πλάττονται, τὰς δὲ πράξεις ψεύδονται κατ' αὐτῶν. Ἀλλὰ καὶ τοῦτο οὐδὲν ἧττον πρὸς ἀπολογίαν αὐτῶν οὐκ ἀσφαλές. Εἰ γὰρ τὰς πράξεις ἐψεύσαντο, ἐψεύσαντο πάντως καὶ τὰ ὀνόματα, ὧν καὶ τὰς πράξεις εἶναι διηγήσαντο. Ἢ εἰ ἀληθεύουσι περὶ τὰ ὀνόματα, ἀληθεύουσι καὶ περὶ τὰς πράξεις ἐξ ἀνάγκης. Ἄλλως τε οἱ εἶναι τούτους θεοὺς μυθολογήσαντες, ἴσασιν ἀληθῶς καὶ ἃ δεῖ θεοὺς πράττειν, καὶ οὐκ ἄν ποτε τὰς ἀνθρώπων θεοῖς προσάψοιεν ἐννοίας, ὥσπερ οὐδὲ τὸ τοῦ πυρὸς ἔργον τῷ ὕδατί τις ἀναθήσει. Τὸ μὲν γὰρ καίει, τὸ δὲ ἔμπαλιν τὴν οὐσίαν ἔχει ψυχράν. Εἰ μὲν οὖν αἱ πράξεις εἰσὶ θεῶν ἄξιαι, θεοὶ ἂν εἶεν καὶ οἱ τούτων ἐργάται. Εἰ δὲ ἀνθρώπων ἐστὶ, καὶ ἀνθρώπων οὐ καλῶν, τὸ μοιχεύειν, καὶ τὰ προειρημένα ἔργα, ἄνθρωποι ἂν εἶεν οἱ ταῦτα πράξαντες καὶ οὐ θεοί· καταλλήλους γὰρ ταῖς οὐσίαις καὶ τὰς πράξεις εἶναι χρή, ἵνα καὶ ἐκ τῆς ἐνεργείας ὁ πράξας μαρτυρηθῇ, καὶ ἐκ τῆς οὐσίας ἡ πρᾶξις γνωσθῆναι δυνηθῇ. Ὥσπερ οὖν εἴ τις διαλεγόμενος περὶ ὕδατος καὶ πυρὸς, καὶ τὰς τούτων ἐνεργείας ἀπαγγέλλων, οὐκ ἂν εἶπε, τὸ μὲν ὕδωρ καίειν, τὸ δὲ πῦρ ψύχειν· οὐδ' εἴ τις περὶ ἡλίου καὶ γῆς διηγεῖτο, ἔλεγεν ἂν τὴν μὲν γῆν φωτίζειν, τὸν δὲ ἥλιον βοτάνας καὶ καρποὺς σπείρεσθαι, ἀλλὰ καὶ λέγων πᾶσαν παραπληξίαν ὑπερέβαλεν· οὕτως οὐκ ἂν οἱ παρ' αὐτοῖς συγγραφεῖς, καὶ μάλιστα ὁ πάντων ἐξοχώτατος ποιητὴς, εἴπερ ᾔδεισαν θεοὺς εἶναι τὸν Δία καὶ τοὺς ἄλλους, τοιαύτας αὐτοῖς περιέθηκαν πράξεις, αἳ μὴ εἶναι θεοὺς αὐτοὺς ἐλέγχουσιν, ἀλλὰ μᾶλλον ἀνθρώπους εἶναι, καὶ ἀνθρώπους οὐ σώφρονας. Ἢ εἰ ἐψεύσαντο ὡς ποιηταὶ, καὶ σὺ τούτων καταψεύδῃ, διατί μὴ καὶ ἐπὶ τῆς ἀνδρείας τῶν ἡρώων ἐψεύσαντο, καὶ ἀντὶ μὲν ἀνδρείας ἀσθέ-

29. καταλλήλους] Ita Bodl. Edd. Ben. κατ' ἀλλήλους, quod minus congruum videtur.

31. ἡ πρᾶξις] Articulum omittit

36. βοτάνας] Bodl. et alii quidam ap. Ben. βοτάναις καὶ καρποῖς.

νειαν, ἀντὶ δὲ ἀσθενείας, ἀνδρείαν ἐπλάσαντο; Ἔδει γὰρ ὥσπερ ἐπὶ τοῦ Διὸς καὶ τῆς Ἥρας, οὕτω καὶ τοῦ μὲν Ἀχιλλέως ἀνανδρείαν καταψεύσασθαι, τοῦ δὲ Θερσίτου δύναμιν θαυμάσαι· καὶ τοῦ μὲν Ὀδυσσέως ἀσυνεσίαν διαβαλεῖν, τοῦ δὲ Νέστορος παραφροσύνην πλάσασθαι· καὶ τοῦ μὲν Διομήδους καὶ Ἕκτορος γυναικείας πράξεις, τῆς δὲ Ἑκάβης ἀνδρείαν μυθολογῆσαι. Ἐπὶ πάντων γὰρ ὡς αὐτοὶ λέγουσιν, ἔδει τοὺς ποιητὰς πλάττεσθαι καὶ ψεύδεσθαι. Νῦν δὲ τοῖς μὲν ἀνθρώποις τὴν ἀλήθειαν ἐφύλαξαν, τῶν δὲ λεγομένων θεῶν, οὐκ ἐφοβήθησαν καταψεύδεσθαι. Καὶ τοῦτο γὰρ ἄν τις αὐτῶν εἴποι, ἐν μὲν ταῖς περὶ ἀσελγείας αὐτῶν πράξεσι ψεύδονται· ἐν δὲ τοῖς ἐπαίνοις, ὅταν πατέρα θεῶν καὶ ὕπατον καὶ ὀλύμπιον καὶ ἐν οὐρανῷ βασιλεύοντα λέγωσι τὸν Δία, οὐ πλάττονται, ἀλλ' ἀληθεύοντες λέγουσι. Τοῦτον δὲ οὐ μόνος ἐγὼ, ἀλλὰ καὶ πᾶς ὅστις ἐλέγξειε κατ' αὐτῶν εἶναι τὸν λόγον. Πάλιν γὰρ ταῖς πρώταις ἀποδείξεσιν ἡ ἀλήθεια κατ' αὐτῶν φανήσεται. Αἱ μὲν γὰρ πράξεις ἀνθρώπους αὐτοὺς εἶναι ἐλέγχουσι· τὰ δὲ ἐγκώμια ὑπὲρ τὴν ἀνθρώπων ἐστὶ φύσιν· ἑκάτερον δὲ τούτων ἀκατάλληλόν ἐστι πρὸς ἑαυτό· οὔτε γὰρ τῶν ἐν οὐρανοῖς ἴδιόν ἐστι τοιαῦτα πράττειν, οὔτε τοὺς τὰ τοιαῦτα πράττοντας ὑπονοεῖν τις δύναται θεούς.

XVII. Τί οὖν ὑπολείπεται νοεῖν, ἢ ὅτι τὰ μὲν ἐγκώμια ψευδῆ καὶ κεχαρισμένα τυγχάνει, αἱ δὲ πράξεις ἀληθεύουσαι κατ' αὐτῶν; καὶ τοῦτο ἀληθὲς ἐκ τῆς συνηθείας ἄν τις ἐπιγνώσεται· οὐδεὶς γὰρ ἐγκωμιάζων τινὰ, καὶ κατηγορεῖ τῆς τούτου πολιτείας· ἀλλὰ μᾶλλον οἷς εἰσὶν αἱ πράξεις αἰσχραὶ, τούτους διὰ τὸν ἐκ τούτων ψόγον ἐπαίρουσι τοῖς ἐγκωμίοις, ἵνα τῇ τούτων ὑπερβολῇ τοὺς ἀκούοντας ἀπατήσαντες, ἐπικρύψωσι τὴν ἐκείνων παρανομίαν. Ὥσπερ οὖν εἴ τις ἐγκωμιάσαι τινὰ προθέμενος, μὴ εὑρίσκοι μὲν ἐκ

53. ἐφύλαξαν] Servaverunt quidem si naturam per exempla æstimaveris, sin autem humanitatis summam perfectissimamque virtutem spectaveris, hujus veritatem minime servatam inveneris. Unde etiam Plato in Republica, lib. iii. poetis magnopere succenset, quod heroas exhibuerint indigna agentes. Hic vero de rerum gestarum veritate agitur.

πολιτείας, μηδὲ ἐξ ἀρετῆς τῆς ψυχῆς τὴν πρόφασιν τῶν ἐγκωμίων, διὰ τὴν ἐν τούτοις αἰσχύνην, ἄλλως δὲ αὐτοὺς ἐπαίροι τὰ ὑπὲρ αὐτοὺς αὐτοῖς χαριζόμενος, οὕτω καὶ οἱ παρ' αὐτοῖς θαυμαστοὶ ποιηταὶ, δυσωπούμενοι ἐπὶ ταῖς αἰσχραῖς πράξεσι τῶν λεγομένων παρ' αὐτοῖς θεῶν, τὸ ὑπὲρ ἄνθρωπον αὐτοῖς προσῆψαν ὄνομα, οὐκ εἰδότες ὅτι οὐ ταῖς ὑπὲρ ἄνθρωπον ὑπονοίαις ἐπισκιάσουσιν αὐτῶν τὰ ἀνθρώπινα, ἀλλὰ μᾶλλον τοῖς ἀνθρωπίνοις αὐτῶν ἐλαττώμασι τὰς Θεοῦ ἐννοίας μὴ ἁρμόζειν αὐτοῖς διελέγξουσι. Καὶ ἔγωγε νομίζω καὶ παρὰ γνώμην αὐτοῖς εἰρῆσθαι τὰ τούτων πάθη καὶ τὰς τούτων πράξεις. Ἐπειδὴ γὰρ τὴν τοῦ Θεοῦ ἀκοινώνητον, ὡς εἶπεν ἡ γραφὴ, προσηγορίαν καὶ τιμὴν τοῖς οὐκ οὖσι θεοῖς, ἀλλ' ἀνθρώποις θνητοῖς ἐσπούδαζον ἀναθεῖναι, καὶ μέγα καὶ δυσσεβὲς ἦν τὸ ὑπ' αὐτῶν τολμώμενον, τούτου ἕνεκεν καὶ ἄκοντες ὑπὸ τῆς ἀληθείας ἠναγκάσθησαν τὰ τούτων ἐκθέσθαι πάθη, ἵνα τοῖς μετὰ ταῦτα τὰ τούτων πάθη πρὸς ἔλεγχον τοῦ μὴ εἶναι τούτους θεοὺς ἐν ταῖς περὶ αὐτῶν γραφαῖς κείμενα πᾶσι φαίνηται.

XVIII. Τίς οὖν ἀπολογία, τίς ἀπόδειξις περὶ τοῦ εἶναι τούτους θεοὺς γένοιτ' ἂν τοῖς ἐν τούτοις δεισιδαιμονοῦσιν; ἐκ μὲν γὰρ τῶν λεχθέντων μικρῷ πρότερον, ἀνθρώπους αὐτοὺς καὶ ἀνθρώπους οὐ σεμνοὺς ὄντας ὁ λόγος ἀπέδειξεν, Εἰς ἐκεῖνο δὲ τάχα τραπήσονται, καὶ μέγα φρονήσουσιν ἐπὶ τοῖς ὑπ' αὐτῶν εὑρεθεῖσι τῷ βίῳ χρησίμοις, λέγοντες διὰ ταῦτα αὐτοὺς καὶ θεοὺς ἡγεῖσθαι, ὅτι τοῖς ἀνθρώποις χρήσιμοι γεγόνασι. Ζεὺς μὲν γὰρ λέγεται πλαστικὴν τέχνην ἐσχηκέναι, Ποσειδῶν δὲ τὴν τοῦ κυβερνήτου, καὶ Ἥφαιστος μὲν χαλκευτικὴν, Ἀθηνᾶ δὲ τὴν ὑφαντικὴν, καὶ Ἀπόλλων μὲν τὴν μουσικὴν, Ἄρτεμις δὲ τὴν κυνηγητικὴν, καὶ Ἥρα στολισμὸν, Δήμητρα γεωργίαν, καὶ ἄλλοι ἄλλας, ὡς οἱ ἱστοροῦντες περὶ αὐτῶν ἐξηγήσαντο. Ἀλλὰ ταύτας καὶ τὰς τοιαύτας ἐπιστήμας, οὐκ αὐτοῖς μόνοις ἔδει τοὺς ἀνθρώπους ἀναθεῖναι, ἀλλὰ τῇ κοινῇ τῶν ἀνθρώπων φύσει,

XVIII. 15. φύσει] Observandum est quo sensu artem naturæ imitationem appellet, non ita scilicet ut externas tantum naturæ species,

εἰς ἣν ἀτενίζοντες ἄνθρωποι τὰς τέχνας ἐφευρίσκουσι. Τὴν γὰρ τέχνην καὶ οἱ πολλοὶ λέγουσι φύσεως αὐτὴν εἶναι μίμημα. Εἰ τοίνυν ἐπιστήμονες περὶ ἃς ἐσπούδασαν τέχνας γεγόνασιν, οὐ διὰ τοῦτο καὶ θεοὺς αὐτοὺς νομίζειν ἀνάγκη, ἀλλὰ μᾶλλον ἀνθρώπους· οὐ γὰρ ἐξ αὐτῶν αἱ τέχναι, ἀλλ' ἐν ταύταις καὶ αὐτοὶ τὴν φύσιν ἐμιμήσαντο. Ὄντες γὰρ ἄνθρωποι κατὰ φύσιν δεκτικοὶ ἐπιστήμης, κατὰ τὸν περὶ αὐτῶν τιθέντα ὅρον, οὐδὲν θαυμαστὸν εἰ τῇ ἀνθρωπίνῃ διανοίᾳ, καὶ αὐτοὶ εἰς τὴν ἑαυτῶν φύσιν ἀποβλέποντες, καὶ ταύτης ἐπιστήμην λαβόντες, τὰς τέχνας ἐπενόησαν. Ἢ εἰ διὰ τὰς τῶν τεχνῶν εὑρέσεις, θεοὺς αὐτοὺς ἄξιον ἀναγορεύεσθαι λέγουσιν, ὥρα καὶ τοὺς τῶν ἄλλων τεχνῶν εὑρετὰς θεοὺς ἀναγορεύειν, καθ' ὃν λόγον κἀκεῖνοι τῆς τοιαύτης ὀνομασίας ἠξιώθησαν. Γράμματα μὲν γὰρ ἐφεῦρον Φοίνικες, ποίησιν δὲ ἡρωϊκὴν Ὅμηρος καὶ διαλεκτικὴν μὲν Ζήνων ὁ Ἐλεάτης, ῥητορικὴν δὲ τέχνην Κόραξ ὁ Συρακούσιος· καὶ καρπὸν μὲν μελισσῶν Ἀρισταῖος, σίτου δὲ σπορὰν Τριπτόλεμος· καὶ νόμους μὲν Λυκοῦργος ὁ Σπαρτιάτης, καὶ Σόλων ὁ Ἀθηναῖος· τῶν δὲ γραμμάτων τὴν σύνταξιν καὶ ἀριθμοὺς, καὶ μέτρα καὶ στάθμια Παλαμήδης ἐφεῦρε· καὶ ἄλλοι ἄλλα καὶ διάφορα τῷ βίῳ τῶν ἀνθρώπων ἀπήγγειλαν χρήσιμα κατὰ τὴν τῶν ἱστορησάντων μαρτυρίαν. Εἴπερ οὖν αἱ ἐπιστῆμαι θεοποιοῦσι, καὶ διὰ ταύτας εἰσὶ θεοὶ γλυπτοὶ, ἀνάγκη καὶ τοὺς ὕστερον ἐκείνων ἐφευρετὰς τῶν ἄλλων γενομένους εἶναι κατ' αὐτοὺς θεούς· ἢ εἰ μὴ τούτους ἀξιοῦσι τῆς τοῦ Θεοῦ τιμῆς, ἀλλ' ἀνθρώπους ἐπιγινώσκουσιν, ἀκόλουθον ἂν εἴη καὶ τὸν Δία καὶ τὴν Ἥραν, καὶ τοὺς ἄλλους μηδὲ ὀνομάζεσθαι θεοὺς, ἀλλὰ καὶ αὐτοὺς ἀνθρώπους γεγενῆσθαι πιστεύειν, καὶ κατὰ περιττὸν, ὅτι μηδὲ σεμνοὶ γεγόνασιν, ὡς καὶ ἀπ' αὐτῆς τῆς διὰ τῶν ἀγαλμάτων γλυφῆς, οὐδὲν ἕτερον, ἢ ἀνθρώπους αὐτοὺς ἐλέγχουσι.

vel motus ejusmodi qui sub oculis fiunt simulare sed ipsam vim mentis inventricem respicere, ejusque actus quasi referre intelligatur.

46. διὰ] Præpositionem quasi inutilem rejicit Ben. unum tantum

XIX. Τίνα γὰρ ἄλλην αὐτοῖς γλύφοντες ἐπιβάλλουσι μορφὴν, ἢ τὴν ἀρρένων καὶ γυναικῶν, καὶ τῶν ἔτι κατωτέρω τούτων καὶ ἀλόγων ὄντων τὴν φύσιν πετεινῶν παντοίων, τετραπόδων ἡμέρων τε καὶ ἀγρίων, καὶ ἑρπετῶν, ὅσα γῆ καὶ θάλαττα καὶ πᾶσα τῶν ὑδάτων ἡ φύσις φέρει; εἰς γὰρ τὴν τῶν παθῶν καὶ ἡδονῶν ἀλογίαν πεσόντες οἱ ἄνθρωποι, καὶ πλέον οὐδὲν ὁρῶντες ἢ ἡδονὰς καὶ σαρκὸς ἐπιθυμίας, ὡς ἐν τούτοις τοῖς ἀλόγοις τὴν διάνοιαν ἔχοντες, ἐν ἀλόγοις καὶ τὸ θεῖον ἀνεπλάσαντο κατὰ τὴν ποικιλίαν τῶν παθῶν ἑαυτῶν, καὶ θεοὺς τοσούτους γλύψαντες. Τετραπόδων τε γὰρ εἰκόνες καὶ ἑρπετῶν καὶ πετεινῶν εἰσὶ παρ' αὐτοῖς, καθὼς καὶ ὁ τῆς θείας καὶ ἀληθοῦς εὐσεβείας ἑρμηνεύς φησιν· "Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς "αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Φά-"σκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν "τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀν-"θρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν· διὸ "καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας." Προπαθόντες γὰρ τὴν ψυχὴν ταῖς τῶν ἡδονῶν ἀλογίαις, ὡς προεῖπον, ἐπὶ τὴν τοιαύτην θεοπλαστίαν κατέπεσον· καὶ πεσόντες, λοιπὸν ὡς παραδοθέντες ἐν τῷ ἀποστραφῆναι τὸν Θεὸν αὐτοὺς, οὕτως ἐν αὐτοῖς κυλίονται, καὶ ἐν ἀλόγοις τὸν τοῦ Λόγου Πατέρα Θεὸν ἀπεικάζουσι. Περὶ ὧν οἱ παρ' Ἕλλησι λεγόμενοι φιλόσοφοι καὶ ἐπιστήμονες, ἐλεγχόμενοι μὲν οὐκ ἀρνοῦνται ἀνθρώπων εἶναι καὶ ἀλόγων μορφὰς καὶ τύπους τοὺς φαινομένους αὐτῶν θεούς· ἀπολογούμενοι δὲ λέγουσι, διὰ τοῦτο αὐτοὺς ἔχειν, ἵνα διὰ τούτων τὸ θεῖον αὐτοῖς ἀποκρίνηται καὶ φαίνηται. Οὐκ ἄλλως γὰρ αὐτὸν τὸν ἀόρατον δύνασθαι γνῶναι, ἢ διὰ τῶν τοιούτων ἀγαλμάτων καὶ τελετῶν. Οἱ δὲ ἔτι τούτων φιλοσοφώτεροι καὶ βαθύτερα λέγειν νομίζοντές, φασι διὰ

codicem secutus; nos vero restituimus, cum sculpturæ vocabulum non ad imagines solas, sed ad ipsam deorum formam effingendam referatur, uti patet e proxime sequentibus.

τοῦτο ταῦτα κατεσκευάσθαι καὶ τετυπῶσθαι πρὸς ἐπίκλησιν καὶ ἐπιφάνειαν θείων ἀγγέλων καὶ δυνάμεων, ἵνα διὰ τούτων ἐπιφαινόμενοι γνωρίζωσιν αὐτοῖς περὶ τῆς τοῦ Θεοῦ γνώσεως· καὶ εἶναι τούτους ὥσπερ γράμματα τοῖς ἀνθρώποις, οἷς ἐντυγχάνοντες, δύνανται γινώσκειν περὶ τῆς τοῦ Θεοῦ καταλήψεως, ἀπὸ τῆς δι' αὐτῶν γινομένης τῶν θείων ἀγγέλων ἐπιφανείας. Ταῦτα μὲν οὕτως ἐκεῖνοι μυθολογοῦσιν· οὐ γὰρ θεολογοῦσι, μὴ γένοιτο. Ἐὰν δέ τις ἐξετάσῃ τὸν λόγον μετ' ἐπιμελείας, εὑρήσει τούτων, οὐκ ἔλαττον τῶν πρότερον δειχθέντων, τὴν δόξαν εἶναι ψευδῆ.

XX. Εἴποι γὰρ ἄν τις πρὸς αὐτοὺς παρελθὼν ἐπ' ἀληθείᾳ κρινούσῃ· Πῶς ἀποκρίνεται ἢ γνωρίζεται Θεὸς διὰ τούτων; πότερον διὰ τὴν περικειμένην αὐτοῖς ὕλην, ἢ διὰ τὴν ἐν αὐτοῖς μορφήν; εἰ μὲν γὰρ διὰ τὴν ὕλην, τίς ἡ χρεία τῆς μορφῆς, καὶ μὴ πρὶν πλασθῆναι ταῦτα διὰ πάσης ἁπλῶς ὕλης ἐπιφαίνεσθαι τὸν Θεόν; Μάτην δὲ καὶ τοὺς ναοὺς οὗτοι περιετείχισαν συγκλείοντες ἕνα λίθον, ἢ ξύλον, ἢ χρυσοῦ μέρος, πάσης τῆς γῆς πεπληρωμένης τῆς τούτων οὐσίας. Εἰ δὲ ἡ ἐπικειμένη μορφὴ αἰτία γίνεται τῆς θείας ἐπιφανείας, τίς ἡ χρεία τῆς ὕλης τοῦ χρυσοῦ καὶ τῶν ἄλλων, καὶ μὴ μᾶλλον δι' αὐτῶν τῶν φύσει ζώων, ὧν εἰσὶ μορφαὶ τὰ γλύμματα, τὸν Θεὸν ἐπιφαίνεσθαι; Καλλίων γὰρ ἂν ἡ περὶ τοῦ Θεοῦ δόξα κατὰ τὸν αὐτὸν λόγον ἐγεγόνει, εἰ διὰ ζώων ἐμψύχων λογικῶν τε καὶ ἀλόγων ἐπεφαίνετο, καὶ μὴ ἐν ἀψύχοις καὶ ἀκινήτοις προσεδοκᾶτο· ἐφ' οἷς μάλιστα καθ' ἑαυτῶν

XIX. 33. ἀγγέλων] Nomen quidem Angelorum apud ethnicos inusitatum erat, Dæmonas vero esse credebant, naturæ cujusdam subtilioris, qui vel summo omnium Deo, vel Diis saltem majoribus servirent, quique inter cœlum et terram positi, nuntiorum officio fungerentur. Certe Monarchiam quandam, i. e. originis omnium et summæ gubernationis unitatem, haud paucos credidisse comprobavit eruditissimus R. Cudworth, Syst. Intell. cap. iv. Quæ inter mysteria quoque inculcari potuit, etiamsi per cultum exteriorem polytheismi species prætenderetur. Multa habes apud. S. Augustinum de Civ. Dei, lib. viii, ix, x. contra dæmonum interventionem.

XX. 6. ἐπιφαίνεσθαι] Infinitivum habes quasi scripsisset τοῦ μή, nihil tamen mutandum, cum lateat sensus verbalis in τίς ἡ χρεία.

ἀσέβειαν ἐργάζονται. Τὰ γὰρ φύσει ζῶα, τετράποδά τε καὶ πετεινὰ καὶ ἑρπετὰ βδελυττόμενοι καὶ ἀποστρεφόμενοι, ἢ διὰ τὴν ἀγριότητα, ἢ διὰ τὴν ῥυπαρίαν, ὅμως τοὺς τούτων τύπους ἐν λίθοις καὶ ξύλοις καὶ χρυσῷ γλύψαντες θεοποιοῦσιν. Ἔδει δὲ αὐτὰ μᾶλλον τὰ ζῶντα θρησκεύειν αὐτούς, ἢ τοὺς τούτων τύπους ἐν τούτοις προσκυνεῖσθαι. Ἢ τάχα τούτων μὲν οὐδέν, οὔτε ἡ μορφὴ οὔτε ἡ ὕλη αἰτία τῆς Θεοῦ παρουσίας ἐστί· μόνη δὲ ἡ μετ᾽ ἐπιστήμης τέχνη τὸ θεῖον ἐκκαλεῖται, ἅ τε δὴ μίμημα τῆς φύσεως αὐτὴ τυγχάνουσα. Ἀλλ᾽ εἰ διὰ τὴν ἐπιστήμην ἐπιφοιτᾷ τὸ θεῖον τοῖς γλύμμασι, τίς πάλιν ἡ χρεία τῆς ὕλης, οὔσης τῆς ἐπιστήμης ἐν τοῖς ἀνθρώποις; εἰ γὰρ ὅλως διὰ τὴν τέχνην ἐπιφαίνεται ὁ Θεός, καὶ διὰ τοῦτο θρησκεύονται ὡς θεοὶ τὰ γλύμματα, ἔδει τοὺς ἀνθρώπους τῆς τέχνης ὄντας ἀρχηγοὺς προσκυνεῖσθαι καὶ θρησκεύεσθαι, ὅσῳ καὶ λογικοὶ καὶ τὴν ἐπιστήμην ἔχουσιν ἐν ἑαυτοῖς.

XXI. Περὶ δὲ τῆς δευτέρας αὐτῶν καὶ βαθυτέρας δῆθεν ἀπολογίας, καὶ ταῦτα ἄν τις ἀκολούθως εἴποι. Εἰ οὐ διὰ τὴν αὐτοῦ τοῦ Θεοῦ ἐπιφάνειαν ταῦτα ὑμῖν πεποίηται, ὦ Ἕλληνες, ἀλλὰ διὰ τὴν ἀγγέλων ἐκεῖ παρουσίαν, διατί τὰ ἀγάλματα, δι᾽ ὧν ἐπικαλεῖσθε τὰς δυνάμεις, κρείττονα καὶ ὑπὲρ αὐτὰς τὰς ἐπικληθείσας δυνάμεις ποιεῖτε; χάριν γὰρ τῆς περὶ Θεοῦ καταλήψεως γλύφοντες τὰς μορφάς, ὥς φατε, αὐτοῦ τοῦ Θεοῦ τὴν τιμὴν καὶ προσηγορίαν, αὐτοῖς τοῖς γλύμμασι περιτίθετε, πρᾶγμα πάσχοντες οὐκ εὐαγές. Ὁμολογοῦντες γὰρ ὑπεραίρειν τὴν τοῦ Θεοῦ δύναμιν τῆς τῶν ἀγαλμάτων σμικρότητος, καὶ διὰ τοῦτο μὴ τολμῶντες τὸν Θεὸν δι᾽ αὐτῶν, τὰς δὲ ἐλάττω δυνάμεις ἐπικαλεῖσθαι, αὐτοὶ ταύτας ὑπερβάντες, οὗ τὴν παρουσίαν ἐφοβήθητε, τούτου τὴν προσηγορίαν τοῖς λίθοις καὶ ξύλοις ἀνεθήκατε· καὶ θεοὺς ἀντὶ λίθων καὶ τέχνης ἀνθρώπων ὀνομάζετε καὶ προσκυνεῖτε. Εἰ γὰρ καὶ ὡς γράμματά εἰσιν ὑμῖν ταῦτα, ὡς ψεύδεσθε, τῆς ἐπὶ Θεὸν θεωρίας, οὐ δίκαιον τὰ σημαίνοντα τοῦ σημαινομένου προτιμᾶν. Οὐδὲ

γὰρ εἰ γράφοι τις τὸ βασιλέως ὄνομα, ἀκινδύνως ἔχοι τὸ γράμμα προτιμῶν τοῦ βασιλέως· ἀλλ᾽ ὁ τοιοῦτος θάνατον μὲν ἔχει τὴν ζημίαν, τὸ δὲ γράμμα τῇ τοῦ γράψαντος ἐπιστήμῃ τετύπωται. Οὕτω καὶ ὑμεῖς, εἴπερ ἐρρωμένον εἴχετε τὸν λογισμὸν, οὐκ ἂν τὸ τηλικοῦτον τῆς θεότητος γνώρισμα, εἰς ὕλην κατεφέρετε· ἀλλὰ καὶ τὸ γλύμμα οὐκ ἂν προετιμήσατε τοῦ γλύψαντος ἀνθρώπου. Εἰ γὰρ καὶ ὅλως ὡς γράμματα σημαίνουσι τὴν τοῦ Θεοῦ ἐπιφάνειαν, καὶ διὰ τοῦτο ὡς Θεὸν σημαίνοντα θεοποιίας εἰσὶν ἄξια· ἀλλὰ γοῦν τὸν ταῦτα γλύψαντα καὶ χαράξαντα, φημὶ δὴ πάλιν τὸν τεχνίτην, πολλῷ πλέον ἔδει θεοποιηθῆναι, ὡς μᾶλλον ἐκείνων δυνατώτερον καὶ θειότερον ὑπάρχοντα, ὅσῳ κἀκεῖνα κατὰ τὴν αὐτοῦ βούλησιν ἐξέσθη καὶ τετύπωται. Εἰ τοίνυν τὰ γράμματα θαύματός ἐστιν ἄξια, πολλῷ πλέον ὁ γράψας ὑπεραίρει τῷ θαύματι, διὰ τὴν τέχνην καὶ τὴν τῆς ψυχῆς ἐπιστήμην. Οὐκοῦν εἰ μὴ διὰ τοῦτο θεοὺς αὐτοὺς ἄξιον νομίζειν, πάλιν αὐτοὺς ἄν τις ἔροιτο περὶ τῆς τῶν εἰδώλων μανίας, τὴν αἰτίαν τῆς τοιαύτης αὐτῶν μορφῆς παρ᾽ αὐτῶν ἀξιῶν μαθεῖν.

XXII. Εἰ μὲν γὰρ ὅτι ἀνθρωπόμορφόν ἐστι τὸ θεῖον, διὰ τοῦτο οὕτω τετύπωται, διατί καὶ ἀλόγων αὐτῷ τύπους περιτιθέασιν; εἰ δὲ ζώων ἀλόγων ἐστὶν ὁ τούτου τύπος, διατί καὶ λογικῶν αὐτῷ περιτιθέασι γλυφάς; Εἰ δὲ τὸ συναμφότερόν ἐστι καὶ ἐξ ἀμφοτέρων κατειλήφασι τὸν Θεὸν, ὅτι τε ἀλόγων καὶ λογικῶν ἔχει τοὺς τύπους, τί διαιροῦσι τὰ συνημμένα, καὶ χωρίζουσι τὴν ἀλόγων καὶ ἀνθρώπων γλυφὴν, καὶ οὐ πάντοτε ἐξ ἀμφοτέρων αὐτὸν γλύφουσιν, ὁποῖα τὰ παρὰ τοῖς μύθοις ἐστὶ πλάσματα, ἡ Σκύλλα, καὶ ἡ Χάρυβδις, καὶ ὁ Ἱπποκένταυρος, καὶ ὁ παρ᾽ Αἰγυπτίοις κυνοκέφαλος Ἄνουβις; Ἔδει γὰρ ἢ μόνους αὐτοὺς οὕτω γράφεσθαι διφυεῖς, ἢ μίαν αὐτῶν ἐχόντων μορφὴν, μὴ καὶ τὴν ἄλλην ἀναπλάττεσθαι κατ᾽ αὐτῶν. Καὶ πάλιν εἰ ἀρρενικαὶ τούτων εἰσὶν αἱ μορφαὶ, διὰ τί καὶ θηλειῶν αὐτοῖς περιτιθέασι τύπους; Εἰ δὲ θηλυκῶν εἰσὶ, διατί καὶ ἀρρενικῶν κατ᾽ αὐτῶν ψεύδονται τὰς μορφάς;

εἰ δὲ πάλιν τὸ συναμφότερόν εἰσιν, ἔδει μὴ διαιρεῖσθαι, ἀλλὰ ἀμφότερα συνάπτεσθαι, καὶ γίνεσθαι κατὰ τοὺς λεγομένους ἑρμαφοδίτους· ἵνα μὴ μόνον ἀσέβειαν καὶ συκοφαντίαν, ἀλλὰ καὶ γέλωτας αὐτῶν ἡ δεισιδαιμονία τοῖς ὁρῶσι παράσχῃ. Καὶ ὅλως εἰ σωματοειδὲς τὸ θεῖον ὑπολαμβάνουσιν, ὥστε καὶ γαστέρα, καὶ χεῖρας, καὶ πόδας, καὶ πάλιν αὐχένα καὶ στήθη καὶ τὰ ἀλλὰ τὰ πρὸς γένεσιν ἀνθρώπων μέλη ἐπινοεῖν αὐτῷ καὶ ἀναπλάττειν, ὅρα εἰς ὅσην ἀσέβειαν καὶ ἀθεότητα καταπέπτωκε τούτων ὁ νοῦς, ὥστε τοιαῦτα ὑπονοεῖν περὶ τοῦ θείου. Ἀκολουθεῖ γὰρ αὐτῷ καὶ τὰ ἄλλα τοῦ σώματος πάντως πάσχειν, ὥστε καὶ τέμνεσθαι καὶ διαιρεῖσθαι, καὶ πάλιν ἐξ ὅλου φθείρεσθαι. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα οὐκ ἴδια Θεοῦ, ἀλλὰ μᾶλλον τῶν ἐπὶ γῆς σωμάτων ἐστίν. Ὁ μὲν γὰρ Θεὸς ἀσώματός ἐστι καὶ ἄφθαρτος καὶ ἀθάνατος, οὐδενὸς εἰς ὁτιοῦν δεόμενος. Ταῦτα δὲ καὶ φθαρτὰ καὶ σωμάτων εἰσὶ τύποι, καὶ τῆς παρ' αὐτῶν ἐπιδεόμενα χρείας, ὥσπερ καὶ πρότερον εἴρηται. Πολλάκις γὰρ ὁρῶμεν ἀνακαινουμένους τοὺς παλαιωθέντας, καὶ οὓς ὁ χρόνος, ἢ ὑετὸς, ἢ ἄλλο τι τῶν ἐπὶ γῆς ζώων ἠφάνισε, τούτους ἀναπλαττομένους. Ἐφ' ᾧ ἄν τις αὐτῶν καταγνώσηται τῆς παραφροσύνης· ὅτι ὧν αὐτοὶ ποιηταὶ τυγχάνουσι, τούτους θεοὺς ἀναγορεύουσι· καὶ οὓς αὐτοὶ ταῖς τέχναις περικοσμοῦσιν, ἕνεκα τοῦ μὴ φθαρῆναι, παρὰ τούτων αὐτοὶ σωτηρίαν αἰτοῦσι· καὶ οὓς οὐκ ἀγνοοῦσι δεομένους τῆς αὐτῶν ἐπιμελείας, παρὰ τούτων αὐτοὶ τὰς ἑαυτῶν χρείας ἀξιοῦσιν ἀποπληροῦσθαι· καὶ οὓς ἐν μικροῖς οἰκίσκοις κατακλείουσι, τούτους οὐρανοῦ καὶ γῆς ἁπάσης δεσπότας οὐκ αἰσχύνονται καλοῦντες.

XXIII. Οὐ μόνον δὲ ἐκ τούτων ἄν τις αὐτῶν τὴν ἀθεότητα καταμάθοι, ἀλλὰ καὶ ἀφ' ὧν ἐν αὐτοῖς τοῖς εἰδώλοις αὐτῶν ἐστὶν ἀσύμφωνος ἡ δόξα. Εἰ γὰρ αὐτοὶ θεοί εἰσιν, ὡς λέγουσι καὶ περὶ αὐτῶν φιλοσοφοῦσι, τίνι τίς πρόσθηται τούτων, καὶ ποίους ἂν αὐτῶν κρίνῃ κυριωτέρους, ἵνα ἢ τὸν Θεὸν θαρρήσῃ προσκυνῶν, ἢ ὥς φασιν ἐν αὐτοῖς μὴ διστάζῃ γινώσκων τὸ θεῖον; οὐ γὰρ οἱ αὐτοὶ παρὰ

πᾶσιν ὀνομάζονται θεοί· ἀλλ' ὅσα κατὰ τὸ πλεῖστόν ἐστιν ἔθνη, τοσοῦτοι καὶ θεοί ἀναπλάττονται. Ἔστι δ' ὅπου καὶ μία χώρα καὶ μία πόλις πρὸς ἑαυτὰς στασιάζουσι περὶ τῆς τῶν εἰδώλων δεισιδαιμονίας. Φοίνικες γοῦν οὐκ ἴσασι τοὺς παρ' Αἰγυπτίοις λεγομένους θεοὺς, οὐδὲ Αἰγύπτιοι τὰ αὐτὰ τοῖς παρὰ Φοίνιξι προσκυνοῦσιν εἴδωλα. Καὶ Σκύθαι μὲν τοὺς Περσῶν, Πέρσαι δὲ τοὺς Σύρων οὐ παραδέχονται θεούς. Ἀλλὰ καὶ Πελασγοὶ μὲν τοὺς ἐν Θράκῃ θεοὺς διαβάλλουσι· Θρᾶκες δὲ τοὺς παρὰ Θηβαίοις οὐ γινώσκουσιν. Ἰνδοὶ δὲ κατὰ Ἀράβων, καὶ Ἄραβες κατ' Αἰθιόπων, καὶ Αἰθίοπες κατ' αὐτῶν ἐν τοῖς εἰδώλοις διαφέρονται. Καὶ Σύροι μὲν τὰ Κιλίκων οὐ σέβουσι· Καππαδοκῶν δὲ τὸ γένος ἄλλους παρὰ τούτους ὀνομάζουσι θεούς. Καὶ Βιθυνοὶ μὲν ἑτέρους, Ἀρμένιοι δὲ ἄλλους ἑαυτοῖς ἀνεπλάσαντο. Καὶ τί μοι δεῖ πολλῶν; Ἠπειρῶται παρὰ τοὺς ἐν ταῖς νήσοις, ἄλλους θεοὺς προσκυνοῦσι, καὶ νησιῶται παρὰ τοὺς ἐν ταῖς ἠπείροις θρησκεύουσι. Καὶ ὅλως ἑκάστη πόλις καὶ κώμη τοὺς ἐκ γειτόνων οὐκ εἰδυῖα θεοὺς, τοὺς ἑαυτῆς προκρίνει, καὶ μόνους εἶναι τούτους νομίζει θεούς. Περὶ γὰρ τῶν ἐν Αἰγύπτῳ μυσαρῶν, οὐδὲ λέγειν ἐστὶ, πᾶσιν ἐπ' ὀφθαλμῶν ὄντων· ὅτι ἐναντίας καὶ μαχομένας ἀλλήλαις ἔχουσι τὰς θρησκείας αἱ πόλεις, Καὶ οἱ ἐκ γειτόνων ἀεὶ σπουδάζουσιν κατὰ τῶν πλησίον τὰ ἐναντία σέβειν· ὁ γοῦν παρ' ἑτέροις προσκυνούμενος ὡς θεὸς κροκόδειλος, οὗτος παρὰ τοῖς πλησίον βδέλυγμα νομίζεται, καὶ ὁ παρ' ἑτέροις λέων ὡς θεὸς θρησκευόμενος, τοῦτον οἱ ἀστυγείτονες οὐ μόνον οὐ θρησκεύουσιν, ἀλλὰ καὶ εὑρόντες ἀποκτείνουσιν ὡς θηρίον· καὶ ὁ παρ' ἄλλοις ἀνατεθεὶς ἰχθὺς, οὗτος ἐν ἄλλῳ ἁλίσκεται τροφή· ὅθεν δὴ πόλεμοι καὶ στάσεις καὶ πᾶσα φόνων πρόφασις, καὶ πᾶσα τῶν παθῶν ἡδονὴ παρ' αὐτοῖς ἐστί. Καὶ τόγε

XXIII. 32. κροκόδειλος] Vid. Herod. ii. 69. De piscibus autem citat Ben. Xenophontem Anab. i. c. 4. ubi ait Cyrum venisse ἐπὶ τὸν Χάλον ποταμὸν, ὄντα τὸ εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον, καὶ ἀδικεῖν οὐκ εἴων, οὐδὲ τὰς περιστεράς.

θαυμαστὸν ὅτι, ὡς οἱ ἱστορήσαντες ἐξηγοῦνται, παρ' Αἰγυπτίων οἱ Πελασγοὶ μαθόντες τὰ ὀνόματα τῶν θεῶν, οὐκ ἴσασιν οὗτοι τοὺς παρ' Αἰγυπτίοις θεοὺς, ἀλλὰ ἄλλους παρ' ἐκείνους θρησκεύουσι. Καὶ ὅλως πάντων τῶν ἐν εἰδώλοις μανέντων ἐθνῶν, διάφορός ἐστιν ἡ δόξα καὶ ἡ θρησκεία, καὶ οὐ τὰ αὐτὰ παρὰ τοῖς αὐτοῖς εὑρίσκεται. Καὶ εἰκότως γε τοῦτο πάσχουσιν. Ἐκπεσόντες γὰρ ἀπὸ τῆς πρὸς τὸν ἕνα Θεὸν κατανοήσεως, εἰς πολλὰ καὶ διάφορα καταπεπτώκασι· καὶ ἀποστραφέντες τὸν ἀληθῶς τοῦ Πατρὸς Λόγον, τὸν πάντων Σωτῆρα Χριστὸν, εἰκότως εἰς πολλὰ τὴν διάνοιαν ἔχουσι ῥεμβομένην. Καὶ ὥσπερ οἱ τὸν ἥλιον ἀποστραφέντες καὶ ἐν σκοτεινοῖς γενόμενοι τόποις, πολλὰς ἀνόδους κυκλεύουσιν ὁδούς· καὶ τοὺς μὲν παρόντας οὐχ ὁρῶσι, τοὺς δὲ μὴ ὄντας φαντάζονται ὡς παρόντας, καὶ βλέποντες οὐ βλέπουσι· τὸν αὐτὸν τρόπον οἱ τὸν Θεὸν ἀποστραφέντες καὶ σκοτισθέντες τὴν ψυχὴν, ῥεμβόμενον ἔχουσι τὸν νοῦν, καὶ τὰ οὐκ ὄντα ὡς μεθύοντες καὶ μὴ ὁρῶντες φαντάζονται.

XXIV. Ταῦτα δὲ οὐ μικρὸς ἔλεγχός ἐστι τῆς ἀληθῶς ἀθεότητος αὐτῶν. Διαφόρων γὰρ ὄντων καὶ πολλῶν κατὰ πόλιν καὶ χώραν θεῶν, καὶ τοῦ ἑτέρου τὸν τοῦ ἑτέρου ἀναιροῦντος θεὸν, οἱ πάντες παρὰ πάντων ἀναιροῦνται. Καὶ γὰρ οἱ παρ' ἄλλοις νομιζόμενοι θεοὶ, τῶν παρ' ἄλλοις λεγομένων θεῶν γίγνονται θυσίαι καὶ σπονδαί· Καὶ ἄλλων αἱ θυσίαι, ἄλλων ἔμπαλίν εἰσι θεοί. Αἰγύπτιοι δὲ τὸν βοῦν καὶ τὸν Ἆπιν μόσχον ὄντα σέβουσι· καὶ τούτους ἄλλοι τῷ Διὶ θύουσι. Κἂν γὰρ μὴ αὐτοὺς ἐκείνους οὓς ἀνατεθείκασι θύσωσιν, ἀλλὰ τὰ ὅμοια θύοντες τὰ αὐτὰ προσάγειν δοκοῦσι. Λίβυες πρόβατον, ὃ καλοῦσιν Ἄμμωνα, θεὸν ἔχουσι· καὶ τοῦτο πολλοῖς παρ' ἑτέρων εἰς θυσίαν σφάζεται. Ἰνδοὶ τὸν Διόνυσον θρησκεύουσι, συμβολικῶς οἶνον αὐτὸν ὀνομάζοντες, καὶ τοῦτον τοῖς ἄλλοις σπένδουσιν ἕτεροι. Ἄλλοι ποταμοὺς καὶ κρήνας, καὶ πάντων μάλιστα Αἰγύπτιοι τὸ ὕδωρ προτετιμήκασι, καὶ θεοὺς ἀναγορεύουσι, καὶ ὅμως ἄλλοι, καὶ αὐτοὶ δὲ οἱ ταῦτα θρη-

σκεύοντες Αἰγύπτιοι, τοὺς τῶν ἄλλων ῥύπους καὶ τοὺς ἑαυτῶν ἀπονίπτονται τοῖς ὕδασι, καὶ τὸ λείψανον, μετὰ ἀτιμίας ἐκρίπτουσι. Σχεδὸν δὲ πᾶσα ἡ τῶν Αἰγυπτίων εἰδωλοποιία, τῶν παρ' ἄλλοις θεῶν ἐστὶ θυσία· ὥστ' ἂν αὐτοὺς καὶ παρ' αὐτῶν ἐκείνων χλευάζεσθαι, ὅτι μὴ θεοὺς, ἀλλὰ τὰ τῶν ἄλλων ἔτι τε καὶ παρ' αὐτοῖς ἀποτροπιάσματα καὶ θυσίας ὄντα θεοποιοῦσιν.

XXV. Ἤδη δέ τινες εἰς τοσαύτην ἀσέβειαν καὶ παραφροσύνην ἐξηνέχθησαν, ὡς καὶ αὐτοὺς τοὺς ἀνθρώπους, ὧν εἰσὶ τύποι καὶ μορφαὶ, τοῖς παρ' αὐτοῖς ψευδοθέοις κατασφάττειν καὶ θυσίας προσάγειν. Καὶ οὐχ ὁρῶσιν οἱ κακοδαίμονες, ὅτι τὰ σφαγιαζόμενα θύματα, ἀρχέτυπά εἰσι τῶν ὑπ' αὐτῶν πλασθέντων καὶ προσκυνουμένων θεῶν, καὶ οἷς προσάγουσι τοὺς ἀνθρώπους. Σχεδὸν γὰρ τὰ ὅμοια τοῖς ὁμοίοις, ἢ μᾶλλον τὰ κρείττονα τοῖς ἐλάττοσι προσάγουσιν· ἔμψυχα γὰρ ἀψύχοις θύουσι, καὶ λογικὰ τοῖς ἀκινήτοις προσάγουσι. Σκύθαι γὰρ οἱ καλούμενοι Ταύρειοι τῇ παρ' αὐτοῖς Παρθένῳ καλουμένῃ τοὺς ἀπὸ ναυαγίων καὶ ὅσους ἂν λάβωσι τῶν Ἑλλήνων, εἰς θυσίας ἀναφέρουσι, τοσοῦτον ἀσεβοῦντες κατὰ τῶν ὁμογενῶν ἀνθρώπων, καὶ οὕτως ἐλέγχοντες τῶν θεῶν αὐτῶν τὴν ὠμότητα· ὅτι οὓς ἡ πρόνοια ἀπὸ θαλάσσης ἐκ κινδύνων διέσωσε, τούτους αὐτοὶ κατασφάττουσι, μονονουχὶ κατὰ τῆς προνοίας γινόμενοι· ὅτι τὴν ἐκείνης εὐεργεσίαν τῇ ἑαυτῶν θηριώδει ψυχῇ κατακρύπτουσιν. Ἄλλοι δὲ τῷ Ἀρεΐ, ἐπειδὰν ἐκ πολέμων ἐπανέλθωσι καὶ νίκας φέρωσι, τὸ τηνικαῦτα εἰς ἑκατοντάδας διελόντες τοὺς ληφθέντας, καὶ ἀφ' ἑκάστης ἕνα λαμβάνοντες, τοσούτους κατασφάττουσιν, ὅσους ἂν κατὰ μίαν ἑκατοντάδα ἐκλέξωνται. Οὐ μόνοι δὲ Σκύθαι διὰ τὴν ἐν βαρβάροις ἔμφυτον αὐτοῖς ἀγριότητα τὰ τοιαῦτα μυσαρὰ δρῶσιν, ἀλλ' ἴδιόν ἐστι τῆς τῶν εἰδώλων καὶ δαιμόνων κακίας τοῦτο τὸ δρᾶμα. Καὶ γὰρ Αἰγύπτιοι ἔθυον μὲν πάλαι τῇ Ἥρᾳ τοιαῦτα σφάγια· Φοίνικες δὲ καὶ Κρῆτες τὸν Κρόνον ἐν ταῖς τεκνοθυσίαις ἑαυτῶν ἱλάσκοντο. Καὶ οἱ πάλαι δὲ Ῥωμαῖοι τὸν καλούμενον Λατιάριον

Δία ἀνθρωποθυσίαις ἐθρήσκευον· καὶ ἄλλοι ἄλλως, καὶ πάντες ἁπλῶς ἐμίαινον καὶ ἐμιαίνοντο. Ἐμιαίνοντο μὲν αὐτοὶ δρῶντες τὰ φονικά· ἐμίαινον δὲ τοὺς ἑαυτῶν ναοὺς τοιαύταις καπνίζοντες θυσίαις. Ἀπὸ δὴ τούτων τὰ κακὰ τοῖς ἀνθρώποις εἰς πλῆθος ἔφθασεν· ὁρῶντες γὰρ ἐν τούτοις τοὺς παρ' αὐτοῖς ἡδομένους δαίμονας, εὐθέως καὶ αὐτοὶ τοῖς τοιούτοις πλημμελήμασι τοὺς ἑαυτῶν θεοὺς ἐμιμήσαντο, ἴδιον ἡγούμενοι κατόρθωμα τὴν πρὸς τὰ κρείττονα, ὡς αὐτοὶ νομίζουσι, μίμησιν. Ἔνθεν ἀνδροφονίαις καὶ τεκνοκτονίαις, καὶ πάσαις ἀσελγείαις ἡττήθησαν οἱ ἄνθρωποι. Καὶ γὰρ σχεδὸν πᾶσα πόλις πάσης ἀσελγείας ἐστὶ μεστὴ δι' ὠμότητα τρόπων τῶν παρ' αὐτοῖς θεῶν γινομένη· καὶ οὐκ ἔστι σώφρων ἐν τοῖς εἰδώλοις, εἰ μὴ μόνος ὁ παρ' αὐτοῖς ἐπ' ἀσελγείᾳ μαρτυρούμενος.

XXVI. Γυναῖκες γοῦν ἐν εἰδωλείοις τῆς Φοινίκης πάλαι προεκαθέζοντο, ἀπαρχόμεναι τοῖς ἐκεῖ θεοῖς ἑαυτῶν τὴν τοῦ σώματος αὐτῶν μισθαρνίαν, νομίζουσαι τῇ πορνείᾳ τὴν θεὸν ἑαυτῶν ἱλάσκεσθαι, καὶ εἰς εὐμένειαν ἄγειν αὐτὴν διὰ τούτων. Ἄνδρες δὲ τὴν φύσιν ἀρνούμενοι, καὶ μηκέτι εἶναι θέλοντες ἄρρενες, τὴν γυναικῶν πλάττονται φύσιν, ὡς ἐκ τούτων καταθύμια καὶ τιμὴν τῇ μητρὶ τῶν παρ' αὐτοῖς λεγομένων θεῶν ποιοῦντες. Πάντες δὲ ὁμοῦ τοῖς αἰσχίστοις βιοῦσι, καὶ τοῖς χείροσιν ἑαυτοῖς ἁμιλλῶνται· καὶ ὡς εἶπεν ὁ ἅγιος τοῦ Χριστοῦ διάκονος Παῦλος· "αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. Ὁμοίως δὲ καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρρενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι." Ταῦτα δὲ καὶ τὰ τοιαῦτα πράσσοντες, ὁμολογοῦσι καὶ ἐλέγχουσι καὶ τοὺς λεγομένους αὐτῶν θεοὺς τοιοῦτον ἐσχηκέναι τὸν βίον. Ἐκ μὲν γὰρ Διός, τὴν

XXV. 41. ἐν τοῖς εἰδώλοις] Latine apud Ben. 'Nec apud idololatras ullus probus est, nisi cujus libidines testatæ et manifestæ sunt;' quo quidem sensu nihil vero similius occurrit, nisi legendum sit εἰδωλείοις, (pro quo proxime fere omnes εἰδώλοις,) ita ut stipes ipse quem venerabantur ironice σώφρων dicatur.

παιδοφθορίαν καὶ τὴν μοιχείαν, ἐκ δὲ Ἀφροδίτης τὴν πορνείαν, καὶ ἐκ μὲν Ῥέας τὴν ἀσέλγειαν, ἐκ δὲ Ἄρεος τοὺς φόνους, καὶ ἐξ ἄλλων ἄλλα τοιαῦτα μεμαθήκασιν, ἃ οἱ νόμοι μὲν κολάζουσι, πᾶς δὲ σώφρων ἀνὴρ ἀποστρέφεται. Ἆρ' οὖν ἄξιον ἔτι τούτους νομίζειν εἶναι θεοὺς, τοὺς τὰ τοιαῦτα ποιοῦντας; καὶ μὴ μᾶλλον τῶν ἀλόγων ἀλογωτέρους ἡγεῖσθαι τούτους διὰ τὴν ἀσέλγειαν τῶν τρόπων; ἆρα ἄξιον τοὺς θρησκεύοντας αὐτοὺς, νομίζειν ἀνθρώπους, καὶ μὴ μᾶλλον ὡς ἀλόγων ἀλογωτέρους, καὶ τῶν ἀψύχων ἀψυχοτέρους οἰκτείρειν; Εἰ γὰρ ἐλογίζοντο τῆς ἑαυτῶν ψυχῆς τὸν νοῦν, οὐκ ἂν ἐν τούτοις κατεπεπτώκεισαν ὅλοι πρηνεῖς, καὶ τὸν ἀληθινὸν ἠρνοῦντο τοῦ Χριστοῦ Πατέρα Θεόν.

XXVII. Ἀλλ' ἴσως οἱ ἐπαναβεβηκότες τούτων καὶ περὶ τὴν κτίσιν ἐπτοημένοι, δυσωπούμενοι τοῖς περὶ τῶν βδελυγμάτων ἐλέγχοις, εὐκατάγνωστα μὲν καὶ εὐέλεγκτα παρὰ πᾶσιν ὄντα ταῦτα οὐκ ἀρνήσονται καὶ αὐτοί. Ἐκείνην δὲ αὐτοῖς ἀσφαλῆ τὴν δόξαν καὶ ἀναντίρρητον εἶναι οἰήσονται, τὴν πρὸς τὸν κόσμον καὶ τὰ τοῦ κόσμου μέρη θρησκείαν. Καυχήσονται γὰρ οὐχ ὡς λίθους, καὶ ξύλα, καὶ μορφὰς ἀνθρώπων καὶ ἀλόγων πτηνῶν τε καὶ ἑρπετῶν καὶ τετραπόδων ἁπλῶς, ἀλλ' ἥλιον καὶ σελήνην, καὶ πάντα τὸν κατ' οὐρανὸν κόσμον, καὶ γῆν αὖ πάλιν καὶ σύμπασαν τοῦ ὑγροῦ τὴν φύσιν σέβοντες καὶ θρησκεύοντες· καὶ φήσουσι μὴ δύνασθαί τινας ἀποδεῖξαι καὶ τούτους μὴ εἶναι φύσει θεοὺς, πᾶσιν ὄντος φανεροῦ, ὅτι οὔτε ἄψυχα, οὔτε ἄλογα τυγχάνει, ἀλλὰ καὶ τὴν ἀνθρώπων ὑπεραίρει φύσιν, τῷ τὰ μὲν ἐν οὐρανοῖς, τὰ δὲ ἐπὶ τῆς γῆς

XXVI. 28. τὸν νοῦν] Scilicet nisi in seipsis carnem magis quam mentem contemplati essent. Illud enim in omnibus fere hominum opinionibus observatum est, quod ii qui a veritate humanæ naturæ aliquid detraxerint, iidem etiam de Deo prava censuerint, qui vero imaginem illam Dei quæ in homine extat melius æstimaverint, iidem ipsam rerum Divinarum veritatem propius attigerint.

XXVII. 1. ἐπαναβεβηκότες] *Altius evecti.* Ab infima enim idololatria initium fecerat, deinde ad sublimiora gentilium dogmata progressus quasi nova semper mœnia expugnabat.

κατοικεῖν. Ἄξιον οὖν καὶ περὶ τούτων ἰδεῖν καὶ διερευνῆσαι· πάντως γὰρ καὶ ἐν τούτοις εὑρήσει ὁ λόγος τὸν ἔλεγχον ἀληθῆ κατ' αὐτῶν. Πρὶν δὲ ἡμᾶς ἰδεῖν καὶ τῆς ἀποδείξεως ἄρξασθαι, ἀρκεῖ τὴν κτίσιν αὐτὴν κατ' αὐτῶν μονονουχὶ βοῆσαι, καὶ δεῖξαι τὸν αὐτῆς ποιητὴν καὶ δημιουργὸν Θεὸν, τὸν καὶ ταύτης καὶ τοῦ παντὸς βασιλεύοντα τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃν ἀποστρέφονται μὲν οἱ δοκησίσοφοι, τὴν δὲ παρ' αὐτοῦ γενομένην κτίσιν προσκυνοῦσι καὶ θεοποιοῦσι, καί· τοι προσκυνοῦσαν καὶ αὐτὴν καὶ ὁμολογοῦσαν ὃν ἐκεῖνοι δι' αὐτὴν ἀρνοῦνται Κύριον. Οὕτω γὰρ τοὺς ἀνθρώπους εἰς τὰ ταύτης μέρη κεχηνότας καὶ θεοὺς νομίζοντας ταῦτα, δυσωπήσῃ ἂν καλῶς αὐτοὺς ἡ τῶν μερῶν πρὸς ἄλληλα χρεία· γνωρίζει δὲ καὶ σημαίνει τὸν καὶ αὐτῶν ὄντα Κύριον καὶ ποιητὴν τὸν τοῦ Λόγου Πατέρα, τῇ ἀναντιρρήτῳ προστάξει τῆς εἰς αὐτὸν
Ps. xix. 1. ὑπακοῆς, ᾗ φησὶ καὶ ἡ θεία νομοθεσία· "οἱ οὐρανοὶ διη-
"γοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει "τὸ στερέωμα." Πίστις δὲ τούτων οὐκ ἀφανὴς, ἀλλὰ καὶ λίαν ἐναργής ἐστι τοῖς τὸν ὀφθαλμὸν τῆς διανοίας μὴ πάντη πεπηρωμένον ἔχουσιν. Εἰ γάρ τις καθ' ἑαυτὰ τὰ μέρη τῆς κτίσεως λάβοι, καὶ ἕκαστον ἰδίᾳ νοήσει, οἷον ἥλιον καθ' ἑαυτὸν μόνον, καὶ σελήνην χωρὶς, καὶ γῆν αὖ καὶ ἀέρα, καὶ τὴν θερμὴν καὶ ψυχρὰν, καὶ ξηρὰν καὶ ὑγρὰν οὐσίαν διελὼν ἀπὸ τῆς πρὸς ἄλληλα συναφῆς, ἕκαστον ἐκλάβοι καθ' ἑαυτὸ καὶ ἰδίᾳ θεωρήσειεν, εὑρήσει πάντως μηδὲν ἱκανούμενον ἑαυτῷ, ἀλλὰ πάντα τῆς ἀλλήλων χρείας δεόμενα, καὶ ταῖς παρ' ἀλλήλων ἐπικουρίαις συνιστάμενα. Ἥλιος μὲν γὰρ τῷ σύμπαντι οὐρανῷ συμπεριφέρεται καὶ ἐμπεριέχεται, καὶ ἐκτὸς τῆς ἐκείνου κυκλοφορίας οὐκ ἄν ποτε γένοιτο· σελήνη δὲ καὶ τὰ ἄλλα ἄστρα μαρτυροῦσι τὴν παρὰ ἡλίου γιγνομένην αὐτοῖς ἐπικουρίαν· γῆ δὲ πάλιν οὐκ

43. συμπεριφέρεται] Summam cœlorum sphæram solidam esse putabant, motuque uno circumferri, ex quo tum solis, tum lunæ et stellarum, quotidiana fieret revolutio.

45. ἄστρα] Quanquam enim planetarum ratio et systema hominibus nondum innotuisset, apparebat tamen motus eorum ad solem esse referendos.

ἄνευ ὑετῶν τοὺς καρποὺς ἀποδιδοῦσα φαίνεται· οἱ δὲ ὑετοὶ χωρὶς τῆς τῶν νεφελῶν χρείας οὐκ ἂν καταβαῖεν ἐπὶ γῆς· ἀλλ᾽ οὐδὲ νέφη χωρὶς τοῦ ἀέρος, καθ᾽ ἑαυτὰ ἂν φανείη καὶ συσταίη ποτέ. Ὅ τε ἀὴρ, οὐχ ὑφ᾽ ἑαυτοῦ, ἀλλ᾽ ὑπὸ μὲν τοῦ αἰθέρος διακαίεται, ὑπὸ δὲ τοῦ ἡλίου καταλαμπόμενος λαμπρύνεται. Καὶ πηγαὶ μὲν καὶ ποταμοὶ οὐκ ἄνευ τῆς γῆς συστήσονταί ποτε. Γῆ δὲ οὐκ ἀφ᾽ ἑαυτῆς ἐρήρεισται, ἀλλ᾽ ἐπὶ μὲν τὴν τῶν ὑδάτων οὐσίαν συνέστηκεν· ἐμπεριέχεται δὲ καὶ αὕτη κατὰ τὸ μέσον συνδεθεῖσα τοῦ παντός. Ἥ τε θάλασσα καὶ ὁ ἔξωθεν περιρρέων τὴν σύμπασαν γῆν μέγας Ὠκεανὸς ὑπὸ ἀνέμων κινεῖται καὶ φέρεται, ὅποι δ᾽ ἂν αὐτὸν ἡ τῶν ἀνέμων προσρήσσῃ βία. Καὶ αὐτοὶ δὲ οἱ ἄνεμοι, οὐκ ἐν ἑαυτοῖς, ἀλλὰ, κατὰ τοὺς περὶ τούτων εἰπόντας, ἐκ τῆς πρὸς τὸν ἀέρα τοῦ αἰθέρος διακαύσεως καὶ θερμότητος, ἐν αὐτῷ τῷ ἀέρι συνίστανται, καὶ δι᾽ αὐτοῦ πανταχοῦ πνέουσι. Περὶ γὰρ τῶν τεσσάρων στοιχείων ἐξ ὧν καὶ συνέστηκεν ἡ τῶν σωμάτων φύσις, τὴν θερμὴν λέγω καὶ τὴν ψυχρὰν, ξηράν τε καὶ ὑγρὰν οὐσίαν, τίς τοσοῦτον ἀπέστραπται τὴν διάνοιαν, ὥστε μὴ εἰδέναι, ὅτι ὁμοῦ μὲν συνημμένα ταῦτα συνίστανται, διαιρούμενα δὲ καὶ καθ᾽ ἑαυτὰ γινόμενα, λοιπὸν καὶ ἀλλήλων εἰσὶν ἀναιρετικὰ ταῦτα κατὰ τὴν τοῦ πλεονάζοντος ἐν αὐτοῖς ἐπικράτειαν; Θερμόν τε γὰρ ὑπὸ ψυχροῦ πλεονάσαντος ἀναιρεῖται· καὶ ψυχρὸν πάλιν ὑπὸ τῆς θερμῆς ἀφανίζεται δυνάμεως, ξηρόν τε αὖ ὑπὸ τοῦ ὑγροῦ διυγραίνεται, καὶ τοῦτο ὑπὸ τοῦ ἑτέρου ξηραίνεται.

XXVIII. Πῶς οὖν ταῦτα ἂν εἶεν θεοὶ δεόμενα τῆς παρ᾽ ἑτέρων ἐπικουρίας; Ἢ πῶς παρὰ τούτων αἰτεῖσθαί τι προσήκει, καὶ αὐτῶν ἀπαιτούντων παρ᾽ ἀλλήλων τὴν εἰς ἑαυτὰ χρείαν; Εἰ γὰρ περὶ Θεοῦ λόγος ἐστὶ, μηδενὸς αὐτὸν ἐπιδεᾶ εἶναι, ἀλλ᾽ αὐτάρκη καὶ πλήρη ἑαυτοῦ, καὶ ἐν αὐτῷ τὰ πάντα συστήκειν, καὶ μᾶλλον αὐτὸν τοῖς πᾶσιν ἐπιδιδόναι· πῶς ἥλιον καὶ σελήνην, καὶ τὰ ἄλλα

58. προσρήσσῃ] *Frangendum impellat.*

64. ψυχρὰν] Nempe aeris.

μέρη τῆς κτίσεως οὐκ ὄντα τοιαῦτα, ἀλλὰ καὶ τὰ λειπόμενα τῆς ἀλλήλων χρείας, ἀναγορεύειν ἄξιον θεούς; ἀλλ' ἴσως διαιρούμενα μὲν καὶ καθ' ἑαυτὰ λαμβανόμενα, ἐπιδεῆ εἶναι αὐτὰ καὶ αὐτοὶ συνομολογοῦσι, τῆς ἀποδείξεως ἐπ' ὀφθαλμῶν οὔσης· ὁμοῦ δὲ πάντα συνάπτοντες, καὶ ὡς ἓν ἀποτελοῦντες μέγα σῶμα, τὸ ὅλον θεὸν εἶναι φήσουσι. Συστάντος γὰρ τοῦ ὅλου, οὐκ ἔτι μὲν ἔξωθεν αὐτοῖς χρεία γενήσεται· ἑαυτῷ δὲ τὸ ὅλον ἱκανὸν καὶ αὔταρκες γενήσεται πρὸς πάντα, λέξουσιν οἱ δοκησίσοφοι, ἵνα καὶ ἐντεῦθεν ἐλεγχθῶσιν. Οὗτος δὲ ὁ λόγος καὶ μᾶλλον αὐτῶν τὴν ἀσέβειαν μετὰ μεγάλης ἀπαιδευσίας οὐκ ἔλαττον τῶν πρόσθεν ἀποδείξει. Εἰ γὰρ τὸ καθ' ἕκαστον συναφθὲν, τὸ ὅλον ἀναπληροῖ, καὶ τὸ ὅλον ἐκ τῶν καθ' ἓν συνίσταται, τὸ ὅλον ἄρα ἐκ μερῶν συνέστη, καὶ ἕκαστον τοῦ ὅλου μέρος τυγχάνει. Τοῦτο δὲ τῶν περὶ Θεοῦ ἐννοιῶν πολὺ πόρρωθεν καθέστηκεν. Ὁ γὰρ Θεὸς ὅλον ἐστὶ καὶ οὐ μέρη, καὶ οὐκ ἐκ διαφόρων συνέστηκεν, ἀλλ' αὐτὸς τῆς πάντων συστάσεώς ἐστι ποιητής. Θέα γὰρ ὅσην ἀσέβειαν κατὰ τοῦ θείου ταῦτα λέγοντες ἐξηγοῦνται. Εἰ γὰρ ἐκ μερῶν συνέστηκε, πάντως αὐτὸς ἑαυτοῦ ἀνόμοιος φανήσεται, καὶ ἐξ ἀνομοίων ἔχων τὴν συμπλήρωσιν. Εἰ γὰρ ἥλιός ἐστιν, οὐκ ἔστι σελήνη· καὶ εἰ σελήνη ἐστὶν, οὐκ ἔστι γῆ· καὶ εἰ γῆ τυγχάνει, οὐκ ἂν εἴη θάλασσα, καὶ οὕτως ἐφ' ἑκάστου λαμβάνων ἄν τις εὑρήσει τὴν ἀτοπίαν τοῦ τοιούτου αὐτῶν λόγου. Τοῦτο δ' ἄν τις καὶ ἐκ τοῦ καθ' ἡμᾶς ἀνθρωπείου σώματος ἰδὼν καταγνοίη τούτων. Ὡς γὰρ ὁ ὀφθαλμὸς οὐκ ἔστιν ἀκοὴ, οὐδὲ ἡ ἀκοὴ, χεὶρ, οὐδὲ ἡ γαστὴρ ἐστι στέρνα, οὐδ' αὖ πάλιν ὁ αὐχὴν ἐστι ποῦς, ἀλλ' ἕκαστον τούτων ἰδίαν ἔχει τὴν ἐνέργειαν, καὶ ἐκ τούτων διαφόρων ὄντων ἓν συνίσταται σῶμα, συνημμένα μὲν ἔχον τὰ μέρη κατὰ τὴν χρείαν, διαιρούμενα δὲ κατὰ τὴν τοῦ χρόνου παρ-

XXVIII. 8. τὰ λειπόμενα] In duobus ap. Ben. deest articulus, necnon abundare videtur, nisi intelligas alias creaturæ partes cum sole comparari, illum vero aliis non indigere, quem tamen cœli motu paulo ante dixerat circumferri.

ουσίαν, ὅταν ἡ φύσις ἡ συνάξασα ταῦτα διέλῃ, ὡς ὁ προστάξας Θεὸς βούλεται· οὕτω (συγγνώμην δὲ ὁ λόγος ἐχέτω παρ' αὐτοῦ τοῦ κρείττονος) εἰ τὰ μέρη τῆς κτίσεως συνάπτοντες εἰς ἓν σῶμα, Θεὸν ἀναγορεύουσιν, ἀνάγκη αὐτὸν μὲν καθ' ἑαυτὸν ἀνόμοιον ἑαυτῷ εἶναι, ὥσπερ ἐδείχθη, διαιρεῖσθαι δὲ πάλιν κατὰ τὴν τῶν μερῶν εἰς τὸ μερίζεσθαι γενομένην φύσιν.

XXIX. Καὶ ἄλλως δ' ἄν τις αὐτῶν ἐλέγξειε τὴν ἀθεότητα κατὰ τὴν τῆς ἀληθείας θεωρίαν. Εἰ γὰρ ὁ Θεὸς ἀσώματός ἐστι, καὶ ἀόρατος, καὶ ἄψαυστος τῇ φύσει, πῶς σῶμα τὸν Θεὸν ἐπινοοῦσι, καὶ τὰ φαινόμενα τοῖς ὀφθαλμοῖς καὶ ὧν ψαύομεν τῇ χειρὶ θρησκεύουσι τῇ τοῦ Θεοῦ τιμῇ; Καὶ πάλιν, εἰ ὁ περὶ Θεοῦ κρατεῖ λόγος, δυνατὸν αὐτὸν εἶναι κατὰ πάντα, καὶ μηδὲν μὲν αὐτοῦ κρατεῖν, αὐτὸν δὲ τῶν πάντων κρατεῖν καὶ δεσπόζειν· πῶς οἱ τὴν κτίσιν θεοποιοῦντες, οὐχ ὁρῶσιν αὐτὴν ἐκτὸς οὖσαν τοῦ τοιούτου περὶ Θεοῦ ὅρου; Ἡλίου μὲν γὰρ ὑπὸ γῆν γενομένου, τὸ φῶς ἡ γῆ σκιάζει μὴ ὁρᾶσθαι· σελήνην δὲ μεθ' ἡμέραν ὁ ἥλιος ἐπικρύπτει τῇ τοῦ φωτὸς λαμπηδόνι. Καὶ γῆς μὲν τοὺς καρποὺς πολλάκις χάλαζα βλάπτει· τὸ πῦρ δέ, εἰ γένοιτό τις ὑδάτων πλημμύρα, σβέννυται. Καὶ χειμῶνα μὲν ἔαρ παραγκωνίζεται, θέρος δὲ τὸ ἔαρ ὑπερβῆναι τοὺς ὅρους οὐκ ἐπιτρέπει, καὶ αὐτὸ πάλιν ὑπὸ τοῦ μετοπώρου κωλυόμενον τὰς ἰδίας ὥρας ἐξέρχεσθαι. Εἴπερ οὖν ἦσαν θεοί, ἔδει τούτους μὴ ὑπ' ἀλλήλων ἡττᾶσθαι καὶ ἐπικρύπτεσθαι, ἀλλὰ πάντοτε ἀλλήλοις συνεῖναι, καὶ κοινὰς ἅμα τὰς ἐνεργείας ἀποτελεῖν. Ἔδει μεθ' ἡμέραν καὶ μετὰ νύκτα ἥλιον ὁμοῦ καὶ σελήνην καὶ τὸν ἄλλον τῶν ἀστέρων χορὸν ἴσον ἔχειν τὸ φῶς, καὶ τοῦτο πᾶσι λάμπειν, καὶ πάντα παρ' αὐτῶν καταυγάζεσθαι. Ἔδει θέρος ὁμοῦ καὶ χειμῶνα καὶ ἔαρ καὶ μετόπωρον ἀπαραλλάκτως καὶ κατὰ τὸ αὐτὸ

41. τοῦ κρείττονος] Deum verum significat, de quo tale quicquam nefas dicere.

XXIX. 6. λόγος] Definitio ex communi hominum sensu quam maxime credibilis, vel philosophorum saltem suffragiis approbata.

συνίστασθαι. Ἔδει τὴν θάλασσαν ταῖς πηγαῖς ἐπιμίγνυσθαι καὶ κοινὸν ἀνθρώποις τὸ πόμα παρέχειν. Ἔδει νηνεμίας καὶ τῶν ἀνέμων τὰς πνοὰς ἐν ταὐτῷ γίνεσθαι. Ἔδει τὸ πῦρ ὁμοῦ καὶ τὸ ὕδωρ κοινὴν καὶ μίαν ἀνθρώποις τὴν χρείαν παρέχειν. Οὐδὲ γὰρ οὐδὲ βλάβην ἄν τις ἐξ αὐτῶν ὑπέμεινε, θεῶν ὄντων κατ' αὐτοὺς, καὶ μηδὲν ἐπὶ βλάβῃ, ἐπ' ὠφελείᾳ δὲ μᾶλλον πάντα ποιούντων. Εἰ δὲ ταῦτα γίνεσθαι ἀδύνατον, διὰ τὴν πρὸς ἄλληλα ἐναντιότητα, πῶς οἷόν τε ταῦτα ἀλλήλοις ἐναντία καὶ μαχόμενα, καὶ μὴ δυνάμενα ἀλλήλοις συστῆναι, ἔτι θεοὺς ὀνομάζειν, ἢ Θεοῦ θρησκεύεσθαι τιμαῖς; Τὰ δὲ πρὸς ἑαυτὰ ἀσύμφωνον τὴν φύσιν ἔχοντα, πῶς ἂν ἄλλοις εὐχομένοις εἰρήνην παρέχοιεν, καὶ ὁμονοίας αὐτοῖς γένοιντο πρυτάνεις; Οὔτε οὖν ἥλιος εἰκότως, οὔτε σελήνη, οὔτε ἄλλο τι μέρος τῆς κτίσεως, πολλῷ δὲ πλέον οὐδὲ τὰ ἐν λίθοις καὶ χρυσῷ καὶ ταῖς ἄλλαις ὕλαις ἀγάλματα, οὐδὲ οἱ παρὰ ποιηταῖς μυθευόμενοι Ζεὺς καὶ Ἀπόλλων καὶ οἱ ἄλλοι εἶεν ἀληθῶς θεοὶ, ὡς ὁ λόγος ἀπέδειξεν. Ἀλλὰ τὰ μὲν αὐτῶν μέρη τῆς κτίσεώς ἐστι, τὰ δὲ αὐτῶν ἄψυχα τυγχάνει, τὰ δὲ μόνον ἄνθρωποι θνητοὶ γεγόνασι. Διὸ καὶ ἡ περὶ ταῦτα θρησκεία καὶ θεοποιία οὐκ εὐσεβείας, ἀλλὰ ἀθεότητος καὶ πάσης ἀσεβείας ἐστὶν εἰσήγησις, καὶ μεγάλης πλάνης ἔλεγχος, ἀπὸ τῆς πρὸς τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν γνώσεως, λέγω δὴ τὸν τοῦ Χριστοῦ Πατέρα. Ὅτε τοίνυν ταῦθ' οὕτως ἐλέγχεται καὶ δέδεικται ἡ παρὰ τοῖς Ἕλλησιν εἰδωλολατρεία πάσης ἀθεότητος οὖσα μεστὴ, καὶ οὐκ ἐπ' ὠφελείᾳ, ἀλλ' ἐπ' ἀπωλείᾳ τῷ βίῳ τῶν ἀνθρώπων εἰσαχθεῖσα· φέρε λοιπὸν, ὡς ἐξ ἀρχῆς ὁ λόγος ἐπηγγείλατο, τῆς πλάνης διελεγχθείσης, τὴν τῆς ἀληθείας ὁδὸν ὁδεύσωμεν, καὶ θεωρήσωμεν τὸν ἡγεμόνα καὶ δημιουργὸν τοῦ παντὸς τὸν τοῦ Πατρὸς Λόγον, ἵνα δι' αὐτοῦ καὶ τὸν τούτου Πατέρα Θεὸν κατανοήσωμεν, καὶ γνῶσιν Ἕλληνες ὅσον τῆς ἀληθείας ἑαυτοὺς ἀπεσχοίνισαν.

XXX. Τὰ μὲν προειρημένα οὐδὲν ἕτερον, ἢ πλάνη τῷ βιῷ διηλέγχθη· ἡ δὲ τῆς ἀληθείας ὁδὸς, πρὸς τὸν ὄντως

ὄντα Θεὸν ἕξει τὸν σκοπόν. Πρὸς δὲ τὴν ταύτης γνῶσιν καὶ ἀκριβῆ κατάληψιν, οὐκ ἄλλων ἐστὶν ἡμῖν χρεία, ἀλλ' ἡμῶν αὐτῶν. Οὐδ' ὥσπερ ἐστὶν αὐτὸς ὁ Θεὸς ὑπεράνω πάντων, οὕτω καὶ ἡ πρὸς τοῦτον ὁδὸς πόρρωθεν, ἢ ἔξωθεν ἡμῶν ἐστίν· ἀλλ' ἐν ἡμῖν ἐστι, καὶ ἀφ' ἡμῶν εὑρεῖν τὴν ἀρχὴν δυνατὸν, καθὼς καὶ Μωσῆς ἐδίδασκε λέγων· "Τὸ ῥῆμα (τῆς πίστεως,) ἐντὸς τῆς καρδίας σου ἐστίν." Deut. xxx. 14. Ὅπερ καὶ ὁ Σωτὴρ σημαίνων καὶ βεβαιῶν ἔλεγεν· "Ἡ "βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστίν." Ἔνδον γὰρ ἐν Luc. xvii. 21. ἑαυτοῖς ἔχοντες τὴν πίστιν, καὶ τὴν βασιλείαν τοῦ Θεοῦ, δυνάμεθα ταχέως θεωρῆσαι καὶ νοῆσαι τὸν τοῦ παντὸς βασιλέα, τοῦ Πατρὸς σωτήριον Λόγον. Καὶ μὴ προφασιζέσθωσαν Ἕλληνες, οἱ τοῖς εἰδώλοις θρησκεύοντες· μηδὲ ἄλλος τις ἁπλῶς ἑαυτὸν ἀπατάτω, ὡς τὴν τοιαύτην ὁδὸν οὐκ ἔχων, καὶ διὰ τοῦτο τῆς ἀθεότητος ἑαυτοῦ πρόφασιν εὑρίσκων. Πάντες γὰρ εἰς αὐτὴν ἐπιβεβήκαμεν, καὶ ἔχομεν, εἰ καὶ μὴ πάντες αὐτὴν ὁδεύειν, ἀλλὰ παροδεύειν ἐκβαίνοντες θέλουσι, διὰ τὰς ἔξωθεν αὐτοὺς ἑλκούσας ἡδονὰς τοῦ βίου. Καὶ εἴ τις ἂν ἔροιτο, τίς ἂν εἴη αὕτη· φημὶ δὴ τὴν ἑκάστου ψυχὴν εἶναι, καὶ τὸν ἐν αὐτῇ νοῦν. Δι' αὐτοῦ γὰρ μόνου δύναται Θεὸς θεωρεῖσθαι καὶ νοεῖσθαι. Ἐκτὸς εἰ μὴ ὥσπερ τὸν Θεὸν ἠρνήσαντο, οὕτω καὶ ψυχὴν ἔχειν παραιτήσονται οἱ ἀσεβεῖς· εἰκότως τοῦτο πρὸ τῶν ἄλλων λέγοντες. Οὐ γὰρ ἐχόντων ἐστὶ νοῦν ἀρνεῖσθαι τὸν τούτου ποιητὴν καὶ δημιουργὸν Θεόν. Ὅτι μὲν οὖν ἕκαστος ἀνθρώπων ψυχὴν ἔχει καὶ ταύτην λογικὴν, καὶ τοῦτο ἀναγκαῖόν ἐστι δεῖξαι δι' ὀλίγων διὰ τοὺς ἀκεραίους, ἐπεὶ μάλιστά τινες ἀπὸ τῶν αἱρέσεων ἀρνοῦνται καὶ τοῦτο, οἰόμενοι μηδὲν πλέον εἶναι τὸν ἄνθρωπον, ἢ τὸ φαινόμενον εἶδος τοῦ σώματος· ἵνα ταύτης δειχθείσης, φανερώτερον δι' ἑαυτῶν τὸν κατὰ τῶν εἰδώλων ἔλεγχον ἔχειν δυνηθῶσι.

XXXI. Πρῶτον μὲν οὖν οὐ μικρὸν γνώρισμα τοῦ λογι-

XXX. 4. οὐκ ἄλλων] Non omnia quæ ad Deum spectant hoc modo cognosci affirmat, sed ea quæ sufficere possint ad viam inveniendam per quam quærendus sit Deus.

9. τῆς πίστεως] Vid. Rom. x. 8.

[illegible] εἶναι τὴν τῶν ἀνθρώπων ψυχήν, ἐκ τοῦ πρὸς τὰ ἄλογα διαφέρειν αὐτήν. Διὰ τοῦτο γὰρ ἐκεῖνα μὲν καλεῖν ἄλογα [illegible] εἴωθεν, ἐπειδὴ τῶν ἀνθρώπων τὸ γένος ἐστὶ λογικόν. Ἔπειτα δὲ καὶ τοῦτο πρὸς ἀπόδειξιν οὐ τὸ τυχὸν ἂν εἴη, ἐκ τοῦ μόνον τὸν ἄνθρωπον τὰ ἔξωθεν ἑαυτοῦ λογίζεσθαι καὶ ἐνθυμεῖσθαι τὰ μὴ παρόντα, καὶ πάλιν ἐπιλογίζεσθαι καὶ κρίσει τὸ κρεῖττον τῶν λογισμῶν αἱρεῖσθαι. Τὰ μὲν γὰρ ἄλογα, μόνα τὰ παρόντα βλέπει, καὶ πρὸς μόνα τὰ ἐν ὀφθαλμοῖς ὁρμᾷ, κἂν μετὰ ταῦτα τὴν βλάβην ἔχῃ. Ὁ δὲ ἄνθρωπος οὐ πρὸς τὰ βλεπόμενα μόνον ὁρμᾷ, ἀλλὰ τῷ λογισμῷ τὰ διὰ τῶν ὀφθαλμῶν ὁρώμενα κρίνει. Πολλάκις γοῦν ὁρμήσας κεκράτηται τῷ λογισμῷ· καὶ λογισάμενος, πάλιν ἐπελογίσατο. Καὶ αἰσθάνεται ἕκαστος, εἰ τῆς ἀληθείας γένοιτο φίλος, ὅτι ἄλλος παρὰ τὰς σωματικὰς αἰσθήσεις ἐστὶν ὁ τῶν ἀνθρώπων νοῦς. Διὰ τοῦτο γοῦν ὡς ἄλλος ὤν, αὐτῶν τῶν αἰσθήσεων γίνεται κριτής· Καὶ ὧν ἐκεῖναι ἀντιλαμβάνονται, ταῦτα οὗτος διακρίνει, καὶ ἀναμιμνήσκει, καὶ δείκνυσιν αὐταῖς τὸ κρεῖττον. Ὀφθαλμοῦ μὲν γάρ ἐστι μόνον τὸ ὁρᾶν, καὶ ὤτων τὸ ἀκούειν, καὶ στόματος τὸ γεύεσθαι, καὶ ῥινὸς ὀδμῶν ἀντιλαμβάνεσθαι, καὶ χειρῶν τὸ ἅπτεσθαι· ἀλλ' ἃ δεῖ ὁρᾶν καὶ ἀκούειν, καὶ ὧν ἅπτεσθαι δεῖ, καὶ γεύεσθαι, καὶ ὀδμᾶσθαι, οὐκέτι τῶν αἰσθήσεών ἐστιν, ἀλλὰ καὶ ψυχῆς καὶ τοῦ ταύτης νοῦ διακρῖναι. Ἀμέλει καὶ ξίφους λαβέσθαι δύναται ἡ χείρ, καὶ δηλητηρίου γεύσασθαι τὸ στόμα, ἀλλ' οὐκ οἶδεν, ὅτι βλάπτει ταῦτα, εἰ μὴ ὁ νοῦς διακρίνῃ. Καὶ ἔοικέ γε τὸ τοιοῦτον, ἵνα ἐπὶ εἰκόνος αὐτὸ θεωρήσωμεν, λύρᾳ καλῶς κατεσκευασμένῃ, καὶ τῷ ταύτην κρατοῦντι μουσικῷ μετ' ἐπιστήμης. Ὡς γὰρ αἱ ἐν τῇ λύρᾳ νευραὶ ἑκάσται μὲν ἔχουσι τὸν ἴδιον φθόγγον, ἡ μὲν βαρὺν, ἡ δὲ ὀξὺν, ἡ δὲ μέσον, ἡ δὲ ὀξύτονον, ἡ δὲ ἄλλον, ἀδιάκριτος δέ ἐστιν αὐτῶν ἡ ἁρμονία

XXXI. 13. κεκράτηται] Legitur etiam κεκράτηκε, sensu haud ita commodo, cum *impetus* ad inferiorem animæ partem melius referatur.

24. Ben. ἀλλὰ ψυχῆς, et sic quidam MSS. Bodl. et Ed. Commel. ap. Ben. ἀλλὰ τῆς ψυχῆς.

καὶ ἀδιάγνωστος ἡ σύνθεσις χωρὶς τοῦ ἐπιστήμονος. Τότε γὰρ καὶ ἡ ἁρμονία αὐτῶν δείκνυται καὶ ἡ σύνταξις ὀρθὴ, ὅταν ὁ κατέχων τὴν λύραν πλήξῃ τὰς νευρὰς, καὶ ἁρμοδίως ἑκάστης ἅψηται. Τοῦτον τὸν τρόπον καὶ τῶν αἰσθήσεων ἐν τῷ σώματι ὡς λύρας ἡρμοσμένων, ὅταν ὁ ἐπιστήμων νοῦς αὐτῶν ἡγεμονεύῃ, τότε καὶ διακρίνει ἡ ψυχὴ, καὶ οἶδεν, ὃ ποιεῖ καὶ πράττει. Τοῦτο δὲ μόνον ἴδιον ἀνθρώπων ἐστὶ, καὶ τοῦτό ἐστι τὸ λογικὸν τῆς ψυχῆς τῶν ἀνθρώπων, ᾧ χρωμένη διαλλάττει τῶν ἀλόγων, καὶ δείκνυσιν, ὅτι ἀληθῶς ἄλλη παρὰ τὸ φαινόμενόν ἐστιν ἐν σώματι. Πολλάκις γοῦν κειμένου τοῦ σώματος ἐπὶ γῆς, τὰ ἐν οὐρανοῖς φαντάζεται καὶ θεωρεῖ ὁ ἄνθρωπος· καὶ πολλάκις τοῦ σώματος ἠρεμοῦντος καὶ ἡσυχάζοντος καὶ καθεύδοντος, κινεῖται ἔνδον ὁ ἄνθρωπος, καὶ τὰ ἔξωθεν ἑαυτοῦ θεωρεῖ, χώρας ἀποδημῶν καὶ περιπατῶν, καὶ ἀπαντῶν τοῖς γνωρίμοις, καὶ πολλάκις διὰ τούτων τὰς μεθ' ἡμέραν πράξεις ἑαυτοῦ μαντευόμενος καὶ προγινώσκων. Τοῦτο δὲ τί ἂν εἴη ἕτερον, ἢ ψυχὴ λογικὴ, ἐν ᾗ λογίζεται καὶ νοεῖ τὰ ὑπὲρ ἑαυτὸν ὁ ἄνθρωπος;

XXXII. Καὶ τοῦτο δ' ἂν εἴη πρὸς ἀπόδειξιν ἀκριβῆ τοῖς ἔτι πρὸς ἀναίδειαν τῆς ἀλογίας τετραμμένοις· πῶς τοῦ σώματος θνητοῦ κατὰ φύσιν ὄντος λογίζεται ἄνθρωπος τὰ περὶ ἀθανασίας, καὶ πολλάκις ἑαυτῷ τὸν θάνατον ὑπὲρ ἀρετῆς προκαλεῖται; Ἢ πῶς προσκαίρου τοῦ σώματος ὄντος, τὰ αἰώνια φαντάζεται ἄνθρωπος, ὥστε τῶν μὲν ἐμποδὼν καταφρονεῖν, εἰς ἐκεῖνα δὲ τὸν πόθον ἔχειν; Τὸ μὲν οὖν σῶμα οὐκ ἂν ἑαυτὸ περὶ ἑαυτοῦ τοιαῦτα λογίσηται· καὶ οὐκ ἂν τὰ ἔξωθεν ἑαυτοῦ λογίζοιτο. Θνητὸν γὰρ καὶ πρόσκαιρόν ἐστιν. Ἀνάγκη δὲ ἕτερον εἶναι τὸ τὰ ἐναντία καὶ παρὰ τὴν φύσιν τοῦ σώματος λογιζόμενον. Τί οὖν ἂν εἴη τοῦτο πάλιν, ἢ ψυχὴ λογικὴ καὶ ἀθάνατος; Καὶ γὰρ οὐκ ἔξωθεν, ἀλλ' ἔνδοθεν αὕτη τῷ σώματι, ὡς ὁ μουσικὸς τῇ

XXXII. 5. Bodl. et alii quidam προσκαλεῖται.
8. ἑαυτὸ] Solœcum videtur ἑαυτὸ, alius ἑαυτῷ, melius Bodl. αὐτὸ ὑπὲρ ἑαυτοῦ.

λύρᾳ ἐνηχεῖ τὰ κρείττονα. Πῶς δὲ πάλιν κατὰ φύσιν ὢν ὁ ὀφθαλμὸς εἰς τὸ ὁρᾶν, καὶ ἡ ἀκοὴ εἰς τὸ ἀκούειν, τὰ μὲν ἀποστρέφονται, τὰ δὲ αἱροῦνται; Τίς γὰρ ὁ τὸν ὀφθαλμὸν τοῦ ὁρᾶν ἀποστρέφων; Ἢ τίς τὴν ἀκοὴν κατὰ φύσιν οὖσαν ἀκουστικὴν ἀποκλείει τοῦ ἀκούειν; Ἢ τίς τὴν γεῦσιν κατὰ φύσιν οὖσαν γευστικὴν, κωλύει πολλάκις τῆς φυσικῆς ὁρμῆς; τίς δὲ τὴν χεῖρα κατὰ φύσιν οὖσαν εἰς τὸ ἐνεργεῖν; ἐπέχει τοῦ ψαύειν τινός; Τίς δὲ τὴν ὄσφρησιν καὶ αὐτὴν εἰς τὸ ὀδμᾶσθαι γενομένην ἀποστρέφει τοῦ μὴ ἀντιλαμβάνεσθαι; Τίς ὁ ταῦτα κατὰ τῶν φυσικῶν τοῦ σώματος ἐνεργῶν; ἢ πῶς τὸ σῶμα τὴν φύσιν ἀποστραφὲν, ἐπιστρέφεται πρὸς τὰς ἑτέρου συμβουλίας, καὶ πρὸς τὸ ἐκείνου νεῦμα ἡνιοχεῖται; Ταῦτα γὰρ οὐδὲν ἕτερον, ἢ ψυχὴν λογικὴν ἀποδείκνυσιν ἡγεμονεύουσαν τοῦ σώματος. Οὐδὲ γὰρ ἑαυτὸ τὸ σῶμα πέφυκεν ἐλαύνειν, ἀλλ' ὑφ' ἑτέρου ἄγεται καὶ φέρεται, ὥσπερ οὐδὲ ἵππος ἑαυτὸν ὑποζεύγνυσιν, ἀλλ' ὑπὸ τοῦ κρατοῦντος ἐλαύνεται. Διὰ τοῦτο γοῦν καὶ νόμοι μὲν ἀνθρώποις τὰ καλὰ μὲν πράττειν, τὴν δὲ κακίαν ἀποστρέφεσθαι· τοῖς δὲ ἀλόγοις ἀλόγιστα τὰ κακὰ καὶ ἄκριτα μένει, ἅ τε δὴ τῆς λογικότητος καὶ τῆς κατὰ λόγον διανοίας ἐκτὸς τυγχάνουσιν. Εἶναι μὲν οὖν ψυχὴν λογικὴν ἐν ἀνθρώποις ἐκ τῶν προειρημένων νομίζω δεδεῖχθαι.

XXXIII. Ὅτι δὲ καὶ ἀθάνατος γέγονεν ἡ ψυχὴ, καὶ τοῦτο ἀναγκαῖον εἰδέναι ἐν τῇ Ἐκκλησιαστικῇ διδασκαλίᾳ, πρὸς ἔλεγχον τῆς τῶν εἰδώλων ἀναιρέσεως. Γένοιτο δ' ἂν οὖν ἡ περὶ τούτων γνῶσις ἐγγυτέρω μᾶλλον ἐκ τῆς περὶ τοῦ σώματος γνώσεως, καὶ ἐκ τοῦ πρὸς τὸ σῶμα διαλλάττειν αὐτήν. Εἰ γὰρ ἄλλην αὐτὴν ὁ λόγος ἀπέδειξε παρὰ τὸ σῶμα, ἔστι δὲ τὸ σῶμα φύσει θνητὸν, ἀνάγκη τὴν ψυχὴν ἀθάνατον εἶναι, τῷ μὴ εἶναι κατὰ τὸ

XXXIII. 8. ἀνάγκη] Non *vi terminorum*, ut aiunt dialectici, sed rei ipsius ratione habita. Mortem enim quam appellamus in corpore tantum novimus, ita ut nulla omnino sit causa cur eam rei incorporeæ tribuamus.

σῶμα. Καὶ πάλιν εἰ ἡ ψυχὴ τὸ σῶμα κινεῖ, ὡς δέδεικται, καὶ οὐχὶ ὑπὸ ἄλλων αὐτὴ κινεῖται, ἀκόλουθόν ἐστιν ὑφ' ἑαυτῆς κινουμένην τὴν ψυχὴν, καὶ μετὰ τὴν εἰς γῆν ἀπόθεσιν τοῦ σώματος κινεῖσθαι πάλιν αὐτὴν ἀφ' ἑαυτῆς. Οὐ γὰρ ἡ ψυχή ἐστιν ἡ ἀποθνήσκουσα, ἀλλὰ διὰ τὴν ταύτης ἀναχώρησιν, ἀποθνήσκει τὸ σῶμα. Εἰ μὲν οὖν καὶ αὕτη ὑπὸ τοῦ σώματος ἐκινεῖτο, ἀκόλουθον ἦν ἀναχωροῦντος τοῦ κινοῦντος, ἀποθνήσκειν αὐτήν. Εἰ δὲ ἡ ψυχὴ κινεῖ καὶ τὸ σῶμα, ἀνάγκη μᾶλλον αὐτὴν ἑαυτὴν κινεῖν. Ἑαυτῇ δὲ κινουμένη, ἐξ ἀνάγκης καὶ μετὰ τὸν τοῦ σώματος θάνατον ζῇ. Ἡ γὰρ κίνησις τῆς ψυχῆς οὐδὲν ἕτερόν ἐστιν, ἢ ἡ ζωὴ αὐτῆς· ὥσπερ ἀμέλει καὶ τὸ σῶμα τότε ζῆν λέγομεν, ὅτε κινεῖται, καὶ τότε θάνατον αὐτοῦ εἶναι, ὅτε τῆς κινήσεως παύεται. Τοῦτο δὲ καὶ ἀπὸ τῆς ἐν σώματι καθάπαξ ἐνεργείας αὐτῆς, φανερώτερον ἄν τις ἴδοι. Εἰ γὰρ καὶ ὅτε τὸ σῶμα ἐπιβέβηκε καὶ συνδέδεται τούτῳ, οὐ κατὰ τὴν τοῦ σώματος σμικρότητα συστέλλεται καὶ συμμετρεῖται, ἀλλὰ πολλάκις ἐπὶ κλίνης τούτου κειμένου, καὶ μὴ κινουμένου ἀλλ' ὡς ἐν θανάτῳ κοιμωμένου, αὕτη κατὰ τὴν ἑαυτῆς δύναμιν γρηγορεῖ, καὶ ὑπερεκβαίνει τὴν τοῦ σώματος φύσιν· καὶ ὥσπερ ἀποδημοῦσα τούτου, μένουσα ἐν τῷ σώματι, τὰ ὑπὲρ γῆν φαντάζεται καὶ θεωρεῖ, πολλάκις δὲ καὶ τοῖς ἔξω τῶν γηΐνων σωμάτων ἁγίοις καὶ ἀγγέλοις συναντᾷ, καὶ πρὸς αὐτοὺς ἀφικνεῖται τῇ τοῦ νοῦ θαρροῦσα καθαρότητι· πῶς οὐχὶ μᾶλλον καὶ πολλῷ πλέον, ἀπολυθεῖσα τοῦ σώματος, ὅτε ὁ συνδήσας αὐτὴν βούλεται Θεὸς, φανερωτέραν ἕξει τὴν τῆς ἀθανασίας γνῶσιν; Εἰ γὰρ καὶ συνδεθεῖσα σώματι τὴν ἐκτὸς τοῦ σώματος ζωὴν ἔζη, πολλῷ πλέον καὶ μετὰ θάνατον τοῦ σώματος ζήσεται, καὶ οὐ παύσεται τοῦ ζῆν διὰ τὸν οὕτως αὐτὴν ποιήσαντα Θεὸν διὰ τοῦ ἑαυτοῦ Λόγου, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὰ τοῦτο γὰρ καὶ ἀθάνατα καὶ αἰώνια λογίζεται καὶ φρονεῖ, ἐπειδὴ καὶ ἀθάνατός ἐστι. Καὶ ὥσπερ τοῦ σώματος θνητοῦ τυγχάνοντος, θνητὰ καὶ αἱ τούτου θεωροῦσιν αἰσθήσεις, οὕτως ἀθάνατα θεωροῦσαν καὶ λογιζομένην τὴν ψυχὴν, ἀνάγκη καὶ αὐτὴν

ἀθάνατον εἶναι καὶ ἀεὶ ζῆν. Αἱ γὰρ περὶ τῆς ἀθανασίας ἔννοιαι καὶ θεωρίαι οὐδέ ποτε αὐτὴν ἀφιᾶσι μένουσαι ἐν αὐτῇ, καὶ ὥσπερ ἔκκαυμα ἐν αὐτῇ γινόμεναι πρὸς ἀσφάλειαν τῆς ἀθανασίας. Διὰ τοῦτο γοῦν καὶ τῆς περὶ Θεοῦ θεωρίας ἔχει τὴν ἔννοιαν, καὶ αὐτὴ ἑαυτῆς γίνεται ὁδὸς, οὐκ ἔξωθεν, ἀλλ' ἐξ ἑαυτῆς λαμβάνουσα τὴν τοῦ Θεοῦ Λόγου γνῶσιν καὶ κατάληψιν.

XXXIV. Λέγομεν οὖν, καθάπερ εἴρηται πρότερον, ὥσπερ τὸν Θεὸν ἠρνήσαντο, καὶ ἄψυχα θρησκεύουσιν, οὕτω καὶ τὴν ψυχὴν οὐκ ἔχειν λογικὴν νομίζοντες, αὐτόθεν ἔχουσι τῆς παραφροσύνης τὴν ἐπιτιμίαν ἐν ἀλόγοις καταριθμούμενοι· καὶ διὰ τοῦτο ὡς ἄψυχοι ἐν ἀψύχοις ἔχοντες τὴν δεισιδαιμονίαν, ἐλέους καὶ χειραγωγίας εἰσὶν ἄξιοι. Εἰ δὲ ψυχὴν ἀξιοῦσιν ἔχειν, καὶ ἐπὶ τῷ λογικῷ μέγα φρονοῦσιν, εἰκότως τοῦτο ποιοῦντες, διατί ὡς μὴ ἔχοντες ψυχὴν παρὰ λόγον τολμῶσι, καὶ οὐχ ἃ δεῖ φρονεῖν φρονοῦσιν, ἀλλὰ κρείττονας ἑαυτοὺς καὶ τοῦ θείου ποιοῦσι; Ψυχὴν γὰρ ἀθάνατον ἔχοντες, καὶ μὴ βλεπομένην αὐτοῖς, τὸν Θεὸν ἐν τοῖς βλεπομένοις καὶ θνητοῖς ἀπεικάζουσιν. Ἢ διατί, ὥσπερ ἀπέστησαν ἀπὸ τοῦ Θεοῦ, οὕτως οὐ καταφεύγουσι πάλιν πρὸς αὐτόν; Δύνανται γάρ, ὥσπερ ἀπεστράφησαν τῇ διανοίᾳ τὸν Θεὸν, καὶ τὰ οὐκ ὄντα ἀνεπλάσαντο εἰς θεοὺς, οὕτως ἀναβῆναι τῷ νῷ τῆς ψυχῆς, καὶ πάλιν ἐπιστρέψαι πρὸς τὸν Θεόν. Ἐπιστρέψαι δὲ δύνανται, ἐὰν ὃν ἐνεδύσαντο ῥύπον πάσης ἐπιθυμίας, ἀπόθωνται, καὶ τοσοῦτον ἀπονίψωνται, ἕως ἂν ἀπόθωνται πᾶν τὸ συμβεβηκὸς ἀλλότριον τῇ ψυχῇ, καὶ μόνην αὐτὴν, ὥσπερ γέγονεν, ἀποδείξωσιν, ἵν' οὕτως ἐν αὐτῇ θεωρῆσαι τὸν τοῦ Πατρὸς Λόγον, καθ' ὃν καὶ γεγόνασιν ἐξ ἀρχῆς, δυνηθῶσι. Κατ'

48. ὁδὸς] Qui enim ita 'intra se Deum quærit' ut semper agnoscat non finem in seipso sed viam inventum iri, is nullum sibi propriæ cupiditatis idolum fingit, sed ad Deum verum etiamsi fortasse ignotum tendit.

XXXIV. 14. Δύνανται] Ne forte ista intelligas quasi contra Gratiæ Divinæ necessitatem militantia, memento rem esse cum Ethnicis, mysteriorum nostrorum imperitis. Necdum Pelagius falso αὐταρκείας humanæ dogmate Ecclesiam turbaverat.

εἰκόνα γὰρ Θεοῦ πεποίηται, καὶ καθ' ὁμοίωσιν γέγονεν, ὡς καὶ ἡ θεία σημαίνει γραφὴ ἐκ προσώπου τοῦ Θεοῦ λέγουσα· "ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν." Gen. i. 26. Ὅθεν καὶ ὅτε πάντα τὸν ἐπιχυθέντα ῥύπον τῆς ἁμαρτίας ἀφ' ἑαυτῆς ἀποτίθεται, καὶ μόνον τὸ κατ' εἰκόνα καθαρὸν φυλάττει, εἰκότως διαλαμπρυνθέντος τούτου, ὡς ἐν κατόπτρῳ θεωρεῖ τὴν εἰκόνα τοῦ Πατρὸς τὸν Λόγον, καὶ ἐν αὐτῷ τὸν Πατέρα, οὗ καὶ ἔστιν εἰκὼν ὁ Σωτὴρ, λογίζεται. Ἢ, εἰ μὴ αὐτάρκης ἐστὶν ἡ παρὰ τῆς ψυχῆς διδασκαλία, διὰ τὰ ἐπιθολοῦντα ταύτης ἔξωθεν τὸν νοῦν, καὶ μὴ ἑῶντα ὁρᾶν αὐτὴν τὸ κρεῖττον· ἀλλ' ἔστι πάλιν καὶ ἀπὸ τῶν φαινομένων τὴν περὶ τοῦ Θεοῦ γνῶσιν καταλαβεῖν, τῆς κτίσεως ὥσπερ γράμμασι διὰ τῆς τάξεως καὶ ἁρμονίας τὸν ἑαυτῆς δεσπότην καὶ ποιητὴν σημαινούσης καὶ βοώσης.

XXXV. Ἀγαθὸς γὰρ ὢν καὶ φιλάνθρωπος ὁ Θεὸς, καὶ κηδόμενος τῶν ὑπ' αὐτοῦ γενομένων ψυχῶν, ἐπειδὴ ἀόρατος καὶ ἀκατάληπτός ἐστι τὴν φύσιν, ἐπέκεινα πάσης γενητῆς οὐσίας ὑπάρχων, καὶ διὰ τοῦτο ἔμελλε τὸ ἀνθρώπινον γένος ἀτυχεῖν τῆς περὶ αὐτοῦ γνώσεως, τῷ τὰ μὲν ἐξ οὐκ ὄντων εἶναι, τὸν δὲ ἀγένητον· τούτου ἕνεκεν τὴν κτίσιν οὕτω διεκόσμησε τῷ ἑαυτοῦ Λόγῳ ὁ Θεὸς, ἵν' ἐπειδὴ τὴν φύσιν ἐστὶν ἀόρατος, κἂν ἐκ τῶν ἔργων γινώσκεσθαι δυνηθῇ τοῖς ἀνθρώποις. Ἐκ γὰρ τῶν ἔργων πολλάκις ὁ τεχνίτης καὶ μὴ ὁρώμενος γινώσκεται. Καὶ οἷόν τι λέγουσι περὶ τοῦ ἀγαλματοποιοῦ Φιδίου, ὡς τὰ τούτου δημιουργήματα ἐκ τῆς συμμετρίας καὶ τῆς πρὸς ἄλληλα τῶν μερῶν ἀναλογίας ἐμφαίνειν καὶ μὴ παρόντα Φιδίαν τοῖς ὁρῶσιν, οὕτω δεῖ νοεῖν ἐκ τῆς τοῦ κόσμου τάξεως τὸν τούτου ποιητὴν καὶ δημιουργὸν Θεὸν, κἂν τοῖς τοῦ σώματος ὀφθαλμοῖς μὴ θεωρῆται. Οὐ γὰρ κατεχρήσατο τῇ ἀοράτῳ φύσει

32. ἑῶντα] Ita Bodl. Vox deest ap. Ben. qua tamen omissa claudicat oratio.

XXXV. 1. ὢν] Ita Bodl. Ben. οὖν.

5. τῷ τὰ] Bodl. et duo ap. Ben. τῷ τόν. Legendum fortasse τῷ τό.

12. μερῶν] Bodl. et alii ap. Ben. μελῶν.

13. ἐμφαίνειν] Unus ap. Ben. ἐμφαίνει, quod si acceperis particula ὡς melius se habebit.

αὐτοῦ ὁ Θεός· μή τις τοῦτο προφασιζέσθω· καὶ παντελῶς ἑαυτὸν ἄγνωστον τοῖς ἀνθρώποις ἀφῆκεν· ἀλλ' ὡς προεῖπον, οὕτω διεκόσμησε τὴν κτίσιν, ὥστε καὶ μὴ ὁρώμενον αὐτὸν τῇ φύσει, ὅμως ἐκ τῶν ἔργων γινώσκεσθαι. Καὶ τοῦτο οὐ παρ' ἐμαυτοῦ φημὶ, ἀλλ' ἀφ' ὧν ἀπὸ τῶν θεολόγων ἀνδρῶν ἔμαθον, ὧν εἷς ἐστὶν ὁ Παῦλος, Ῥωμαίοις μὲν γράφων οὕτω· Rom. i. 20. "Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιή- "μασι νοούμενα καθορᾶται." Λυκάοσι δὲ παρρησιαζό- Act. xiv. 15. μενος καὶ λέγων· "Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμὲν ὑμῖν ἄν- "θρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τῶν ματαίων ἐπιστρέ- "φειν ἐπὶ Θεὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν "γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· ὃς ἐν "ταῖς παρῳχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύ- "εσθαι ταῖς ὁδοῖς αὐτῶν. Καίτοιγε οὐκ ἀμάρτυρον "ἑαυτὸν ἀφῆκεν ἀγαθουργῶν, οὐρανόθεν ἡμῖν διδοὺς ὑετοὺς "καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφρο- "σύνης τὰς καρδίας ἡμῶν." Τίς γὰρ ὁρῶν τὸν οὐρανοῦ κύκλον καὶ τὸν δρόμον ἡλίου καὶ σελήνης, καὶ τῶν ἄλλων ἀστέρων τὰς θέσεις καὶ τὰς περιπολήσεις, ἐναντίας μὲν καὶ διαφόρους γιγνομένας, ἐν δὲ τῇ διαφορᾷ ὁμοίαν τὴν τάξιν παρὰ πάντων ὁμοῦ σωζομένην, οὐκ ἐνθυμεῖται ὅτι οὐκ αὐτὰ ἑαυτὰ, ἀλλ' ἕτερός ἐστιν ὁ διακοσμῶν αὐτὰ ποιητής; τίς δὲ ὁρῶν ἥλιον μὲν ἀνατέλλοντα καθ' ἡμέραν, σελήνην δὲ φαίνουσαν κατὰ νύκτα, καὶ φθίνουσαν, καὶ πληρουμένην ἀπαραλλάκτως κατὰ τὸν τῶν ἡμερῶν ἴσον πάντως ἀριθμὸν, καὶ τῶν ἄστρων τὰ μὲν διατρέχοντα καὶ ποικίλως ἐναλλάττοντα τοὺς δρόμους, τὰ δὲ ἀπλανῶς κινούμενα· οὐκ ἂν ἔννοιαν λάβοι, ὅτι πάντως ἐστὶν ὁ κυβερνῶν αὐτὰ δημιουργός;

XXXVI. Τίς ὁρῶν τὰ ἐναντία τῇ φύσει συνημμένα, καὶ σύμφωνον ἔχοντα τὴν ἁρμονίαν, οἷόν τις ἰδὼν πῦρ ψυχρῷ, καὶ ξηρὸν ὑγρῷ κεκραμμένον, καὶ ταῦτα μὴ ἀντιστατοῦντα πρὸς ἄλληλα, ἀλλ' ἓν ἀποτελοῦντα ὡς ἐξ ἑνὸς τὸ σῶμα, οὐκ ἂν ἐνθυμηθείη ἔξωθεν εἶναι τούτων τὸν ταῦτα

συνάψαντα; Τίς ἰδὼν χειμῶνα παραχωροῦντα ἔαρι, καὶ ἔαρ θέρει, καὶ θέρος μετοπώρῳ, καὶ ὅτι ἐναντία ὄντα ταῦτα τῇ φύσει· τὸ μὲν γὰρ ψύχει, τὸ δὲ καίει, τὸ δὲ τρέφει, τὸ δὲ φθίνει· ὅμως τὰ πάντα ἴσην καὶ ἀβλαβῆ τοῖς ἀνθρώποις ἀποτελοῦντα τὴν χρῆσιν, οὐκ ἂν ἐννοήσειεν, ὅτι ἐστί τις κρείττων τούτων, ὁ τὴν ἰσότητα παρέχων πᾶσι καὶ κυβερνῶν τὰ πάντα, κἂν μὴ βλέπῃ τοῦτον; Τίς ὁρῶν ἐν ἀέρι τὰς νεφέλας ὑποβασταζομένας, καὶ ἐν νεφέλαις τὴν τῶν ὑδάτων δεθεῖσαν βαρύτητα, οὐκ ἔννοιαν λαμβάνει τοῦ ταῦτα δήσαντος καὶ προστάξαντος γενέσθαι; Ἢ τίς ὁρῶν αὐτὴν τὴν γῆν, βαρυτάτην οὖσαν τῇ φύσει, ἐπὶ τὸ ὕδωρ ἑδρασθεῖσαν, καὶ ἀκίνητον μένουσαν ἐπὶ τὸ φύσει κινούμενον, οὐ διανοηθήσεται εἶναί τινα τὸν ταύτην διαταξάμενον καὶ ποιήσαντα Θεόν; Τίς ἰδὼν τὴν κατὰ καιρὸν τῆς γῆς καρποφορίαν, καὶ οὐρανόθεν ὑετοὺς, καὶ ποταμῶν ἐπιρροίας, καὶ πηγῶν ἀναβλύσεις, καὶ ζώων ἐξ ἀνομοίων γονὰς, καὶ ταῦτα οὐκ ἀεὶ, ἀλλὰ κατὰ καιροὺς ὡρισμένους γινόμενα· καὶ ὅλως τίς κατανοήσας ἐν ἀνομοίοις καὶ ἐναντίοις τὴν ἴσην καὶ ὁμοίαν παρ' αὐτῶν ἀποτελουμένην τάξιν, οὐκ ἂν ἐνθυμηθείη, ὅτι ἐστὶ μία δύναμις ἡ ταῦτα διακοσμήσασα καὶ διέπουσα, ὡς ἂν αὐτῇ δοκῇ νέμουσα καλῶς; Αὐτὰ μὲν γὰρ καθ' ἑαυτὰ, οὐκ ἂν συσταίη καὶ φανῆναί ποτε δυνηθείη, διὰ τὴν πρὸς ἄλληλα τῆς φύσεως ἐναντιότητα. Τὸ μὲν γὰρ ὕδωρ φύσει βαρὺ καὶ κάτω ῥέον ἐστὶν, αἱ δὲ νεφέλαι κοῦφαι καὶ τῶν ἐλαφρῶν καὶ τῶν ἀνωφερῶν τυγχάνουσι· καὶ ὅμως τὸ βαρύτερον ὕδωρ ὁρῶμεν ἐν ταῖς νεφέλαις βαστα-

XXXVI. 6. ἔαρι] Ben. ἀέρι, ex errore typographi.

21. ἐξ ἀνομοίων] Ex elementis inter se diversis atque contrariis. Confer S. Chrysost. in 1 Thess. Hom. vii. §. 2. ubi hoc argumento eos qui corporis resurrectionem impossibilem esse contendebant egregie refutat, nempe quod eadem ratione corporum generationem impossibilem esse æque probari possit.

26. νέμουσα] Ita Bodl. recte, Edd. μένουσα.

31. βασταζόμενον] Aliud mirantur interdum veteres, scilicet aquas extra cœli firmamentum positas a convexo minime defluere. Vid. S. Chrys. de Stat. Hom. ix. §. 4. Qui etiam de terra aquis imposita ibidem prolixius disserit. Ita nempe intelligebant locum S. Scripturæ Ps. xxiv. 2. quem nos latiori sensu accipimus sicut Ps. civ. 5. S. Chrys. autem interpretationi suæ accommodat etiam Job. xxvi. 7. Falluntur quidem aliquando viri sapientissimi in ista rerum singularum cognitione, in summa vero totius argumenti optime ratiocinantur.

ζόμενον. Καὶ πάλιν ἡ μὲν γῆ βαρυτάτη ἐστὶ, τὸ δ' αὖ πάλιν ὕδωρ κουφότερόν ἐστι ταύτης, καὶ ὅμως ὑπὸ τῶν ἐλαφροτέρων τὸ βαρύτερον βαστάζεται, καὶ οὐ καταφέρεται, ἀλλ' ἕστηκεν ἀκίνητος ἡ γῆ· καὶ τὸ μὲν ἄρρεν οὐ ταὐτόν ἐστι τῷ θήλει, καὶ ὅμως εἰς ἓν συνάγεται, καὶ μία παρ' ἀμφοτέρων ἀποτελεῖται γένεσις τοῦ ὁμοίου ζώου. Καὶ συνελόντι φάναι, τὸ ψυχρὸν τῷ θερμῷ ἐναντίον ἐστὶ, καὶ τὸ ὑγρὸν τῷ ξηρῷ μάχεται, καὶ ὅμως συνελθόντα οὐ στασιάζει πρὸς ἑαυτὰ, ἀλλ' ἐξ ὁμονοίας ἓν σῶμα καὶ τὴν πάντων γένεσιν ἀποτελοῦσιν.

XXXVII. Οὐκ ἂν οὖν μαχόμενα καὶ ἐναντία ὄντα τῇ φύσει ἑαυτὰ συνήγαγον, εἰ μὴ κρείττων ἦν καὶ Κύριος ὁ συνδήσας αὐτὰ, ᾧ καὶ αὐτὰ τὰ στοιχεῖα, ὥσπερ δοῦλα δεσπότῃ ὑπακούοντα, εἴκει καὶ πείθεται. Καὶ οὐκ εἰς τὴν ἑαυτοῦ φύσιν ἕκαστον σκοποῦν, ἀντιμάχεται πρὸς τὸ ἕτερον· ἀλλὰ τὸν συνδήσαντα Κύριον γινώσκοντα, ὁμόνοιαν ἔχουσι πρὸς ἑαυτὰ, φύσει μὲν ὄντα ἐναντία, τῇ δὲ τοῦ κυβερνῶντος βουλήσει φιλιάζοντα. Ἐπεὶ εἰ μὴ κρείττονι προστάξει ἐγεγόνει τούτων μία κρᾶσις, πῶς ἂν τὸ βαρὺ τῷ ἐλαφρῷ, ἢ τὸ ξηρὸν τῷ ὑγρῷ, ἢ τὸ περιφερὲς τῷ ὀρθῷ, ἢ τὸ πῦρ τῷ ψυχρῷ, ἢ ὅλως ἡ θάλασσα τῇ γῇ, ἢ ὁ ἥλιος τῇ σελήνῃ, ἢ τὰ ἄστρα τῷ οὐρανῷ, καὶ ὁ ἀὴρ ταῖς νεφέλαις ἐμίγη καὶ συνῆλθεν, ἀνομοίου οὔσης τῆς ἑκάστου πρὸς τὸ ἕτερον φύσεως; Ἔμελλε γὰρ καὶ μεγάλη στάσις γίνεσθαι πρὸς αὐτὰ, τοῦ μὲν καίοντος, τοῦ δὲ ψύχοντος, καὶ τοῦ μὲν βαρέος κάτω, τοῦ δὲ κούφου ἐκ τῶν ἐναντίων ἄνω ἕλκοντος· καὶ τοῦ μὲν ἡλίου φωτίζοντος, τοῦ δὲ ἀέρος σκοτίζοντος· καὶ γὰρ καὶ τὰ ἄστρα ἐστασίασαν ἂν πρὸς ἑαυτὰ, ὅτι τὰ μὲν ἀνωτέρω, τὰ δὲ κατωτέρω τὴν θέσιν ἔχει· καὶ ἡ νὺξ δὲ οὐκ ἂν παρεχώρησε τῇ ἡμέρᾳ, ἀλλὰ ἔμενεν ἂν πάντως μαχομένη πρὸς αὐτὴν καὶ στασιάζουσα. Τούτων δὲ γιγνομένων, λοιπὸν ἦν ἰδεῖν οὐκέτι κόσμον ἀλλ' ἀκοσμίαν, οὐκέτι τάξιν ἄλλ' ἀταξίαν, οὐκέτι σύστασιν ἀλλ' ἀσύστατον τὸ ὅλον, οὐκέτι μέτρα ἀλλ' ἀμετρίαν. Τῇ

XXXVII. 18. τὰ ἄστρα] 2. ap. Ben. οἱ ἀστέρες, et mox ἑαυτούς.

γὰρ ἑκάστου στάσει καὶ μαχῇ, ἢ πάντα ἀνῃροῦντο, ἢ τὸ κρατοῦν μόνον ἐφαίνετο. Καὶ τοῦτο πάλιν τὴν τοῦ παντὸς ἀκοσμίαν ἐδείκνυε· μόνον γὰρ γενόμενον καὶ λειπόμενον τῇ τῶν ἄλλων χρείᾳ, ἀνάρμοστον τὸ ὅλον ἐποίει· ὥσπερ εἰ καὶ μόνος πούς, καὶ μόνη χεὶρ ἀπομείνασα, οὐκ ἂν ἔσωσεν ὁλόκληρον τὸ σῶμα. Ποῖος γὰρ κόσμος ἦν, εἰ μόνος ἥλιος ἔφαινεν, ἢ σελήνη μόνη περιεπόλει, ἢ νὺξ μόνη ἦν, ἢ ἡμέρα ἀεὶ ἐτύγχανε; Ποία δὲ πάλιν ἦν ἁρμονία, εἰ μόνος ἦν ὁ οὐρανὸς χωρὶς τῶν ἄστρων, ἢ τὰ ἄστρα χωρὶς τοῦ οὐρανοῦ; Τί δὲ καὶ χρήσιμον, εἰ μόνη θάλασσα ἦν, καὶ εἰ μόνη γῆ χωρὶς ὑδάτων καὶ τῶν ἄλλων τῆς κτίσεως μερῶν ἔκειτο; Πῶς δ' ἂν καὶ ἄνθρωπος ἐφάνη, ἢ ὅλως ζῶον ἐπὶ γῆς, τῶν στοιχείων πρὸς ἑαυτὰ στασιαζόντων, καὶ ἑνὸς ὄντος τοῦ κρατοῦντος καὶ μὴ δυναμένου πρὸς τὴν τῶν σωμάτων σύστασιν ἀρκεῖν. Οὐκ ἂν γὰρ ἐκ μόνου θερμοῦ, ἢ μόνου ψυχροῦ, ἢ μόνου ὑγροῦ, ἢ ξηροῦ συνέστη τι τῶν ὅλων, ἀλλ' ἦν ἄτακτα πάντα καὶ ἀσύνθετα καθόλου. Ἀλλ' οὐδ' ἂν αὐτὸ τὸ δοκοῦν κρατεῖν, ἠδυνήθη ἂν συστῆναι χωρὶς τῆς τῶν ἄλλων ἐπικουρίας· οὕτω γὰρ καὶ νῦν συνέστηκεν.

XXXVIII. Ἐπεὶ οὖν οὐκ ἀταξία ἀλλὰ τάξις ἐστὶν ἐν τῷ παντὶ, καὶ οὐκ ἀμετρία ἀλλὰ συμμετρία, καὶ οὐκ ἀκοσμία ἀλλὰ κόσμος καὶ κόσμου παναρμόνιος σύνταξις· ἀνάγκη λογίζεσθαι καὶ λαμβάνειν ἔννοιαν τοῦ ταῦτα συναγαγόντος καὶ συσφίγξαντος, καὶ συμφωνίαν ἐργαζομένου πρὸς αὐτὰ δεσπότου. Κἂν γὰρ μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶται, ἀλλ' ἀπὸ τῆς τάξεως καὶ συμφωνίας τῶν ἐναντίων, ἐννοεῖν ἐστὶ τὸν τούτων ἄρχοντα καὶ κοσμήτορα καὶ βασιλέα. Ὥσπερ γὰρ πόλιν ἐκ πολλῶν καὶ διαφόρων ἀνθρώπων συνεστῶσαν, μικρῶν καὶ μεγάλων, καὶ πλουσίων αὖ καὶ πενήτων, καὶ πάλιν γερόντων καὶ νεωτέρων, καὶ ἀρρένων καὶ θηλέων, εἰ θεωρήσαιμεν εὐτάκτως οἰκουμένην, καὶ τοὺς ἐν αὐτῇ διαφόρους μὲν ὄντας, ὁμονοοῦντας δὲ πρὸς ἑαυτοὺς, καὶ μήτε τοὺς πλουσίους κατὰ τῶν πενήτων, μήτε τοὺς μεγάλους κατὰ τῶν μικρῶν, μήτε τοὺς νέους κατὰ τῶν γερόντων γιγ-

νομένους, ἀλλὰ πάντας κατὰ τὴν ἰσομοιρίαν εἰρηνεύοντας· εἰ ταῦτα βλέποιμεν, πάντως ἐννοοῦμεν, ὅτι ἄρχοντος παρουσία τὴν ὁμόνοιαν πρυτανεύει, κἂν μὴ ὁρῶμεν αὐτόν. Ἡ μὲν γὰρ ἀταξία ἀναρχίας ἐστὶ γνώρισμα· ἡ δὲ τάξις τὸν ἡγεμονεύοντα δείκνυσι. Καὶ γὰρ τὴν ἐν τῷ σώματι τῶν μελῶν πρὸς ἑαυτὰ συμφωνίαν ὁρῶντες, ὅτι οὐ μάχεται ὁ ὀφθαλμὸς τῇ ἀκοῇ, οὐδὲ ἡ χεὶρ τῷ ποδὶ στασιάζει, ἀλλ' ἕκαστον τὴν ἰδίαν ἀποτελεῖ χρείαν ἀστασιάστως, ἐννοοῦμεν ἐκ τούτου πάντως εἶναι ψυχὴν ἐν τῷ σώματι τὴν τούτων ἡγεμονεύουσαν, κἂν μὴ βλέπωμεν αὐτήν. Οὕτως ἐν τῇ τοῦ παντὸς τάξει καὶ ἁρμονίᾳ, τὸν τοῦ παντὸς ἡγεμόνα νοεῖν ἀνάγκη Θεὸν, καὶ τοῦτον ἕνα καὶ οὐ πολλούς. Καὶ ἡ τάξις δὲ αὕτη τῆς διακοσμήσεως, καὶ ἡ τῶν πάντων μεθ' ὁμονοίας ἁρμονία, οὐ πολλοὺς, ἀλλ' ἕνα τὸν αὐτῆς ἄρχοντα καὶ ἡγεμόνα δείκνυσι Λόγον. Οὐκ ἂν γὰρ, εἴπερ ἦσαν πολλοὶ τῆς κτίσεως ἄρχοντες, ἐσώζετο τοιαύτη τάξις τῶν πάντων· ἀλλ' ἦν πάλιν ἄτακτα πάντα διὰ τοὺς πολλοὺς, ἕλκοντος ἑκάστου πρὸς τὴν ἑαυτοῦ βούλησιν τὰ πάντα, καὶ μαχομένου πρὸς τὸν ἕτερον. Ὥσπερ γὰρ ἐλέγομεν τὴν πολυθεότητα ἀθεότητα εἶναι, οὕτως ἀνάγκη τὴν πολυαρχίαν ἀναρχίαν εἶναι. Ἑκάστου γὰρ τὴν τοῦ ἑτέρου ἀρχὴν ἀναιροῦντος, οὐδεὶς ἐφαίνετο λοιπὸν ὁ ἄρχων, ἀλλ' ἦν ἀναρχία παρὰ πᾶσιν. Ἔνθα δὲ μή ἐστιν ἄρχων, ἐκεῖ πάντως ἀταξία γίνεται. Καὶ ἔμπαλιν ἡ τῶν πολλῶν καὶ διαφόρων μία τάξις καὶ ὁμόνοια· ἕνα καὶ τὸν ἄρχοντα δείκνυσι. Καθάπερ γὰρ εἴ τις πόρρωθεν ἀκούει λύρας ἐκ πολλῶν καὶ διαφόρων νευρῶν συγκειμένης, καὶ θαυμάζοι τούτων τὴν ἁρ-

XXXVIII, 17. *ἐννοοῦμεν*] Nihil opus est conjectura *ἐνενοοῦμεν* vel *ἐνοοῦμεν*; (quæ ipsa vix recte se haberent sine *ἂν*, quanquam ita S. Athanasium scripturum fuisse haud sit incredibile, vid. xxxix. 32;) facta enim suppositione, non jam de eventu agitur qui ex ea pendeat, sed de ratiocinatione, quæ ipsa suppositione usa sine dubio concludat. Hujusmodi rationem subesse crediderim præsenti *περιγίγνεται* in loco Thucydidis II. 5. apud Matthiæum citato. Gr. Gr. 524, 3, scilicet non eventum ipsum, sed ejus certitudinem significari.

42. *θαυμάζοι*] Bodl. *θαυμάζει*, alii *ἀκούων θαυμάζει*, sed nihil mutandum censui, cum sæpius S. Athanasius usurpet *καὶ* idiomati Orientali, sensu fere eodem quo *εἶτα*, quem si hoc loco acceperis omnis animi suspensio per *εἰ* indicata incidet in *θαυμάζοι*, quasi scriptum esset *ἀκούων*.

μονίαν τῆς συμφωνίας, ὅτι μὴ μόνη ἡ βαρεῖα τὸν ἦχον ἀποτελεῖ, μηδὲ μόνη ἡ ὀξεῖα, μηδὲ μόνη ἡ μέση, ἀλλὰ πᾶσαι κατὰ τὴν ἴσην ἀντίστασιν ἀλλήλαις συνηχοῦσι· καὶ πάντως ἐκ τούτων ἐννοεῖ οὐχ ἑαυτὴν κινεῖν τὴν λύραν, ἀλλ' οὐδὲ ὑπὸ πολλῶν αὐτὴν τύπτεσθαι· ἕνα δὲ εἶναι μουσικὸν, τὸν ἑκάστης νευρᾶς ἦχον πρὸς τὴν ἐναρμόνιον συμφωνίαν κεράσαντα τῇ ἐπιστήμῃ, κἂν μὴ τοῦτον βλέπῃ. Οὕτω παναρμονίου οὔσης τῆς τάξεως ἐν τῷ κόσμῳ παντὶ, καὶ μήτε τῶν ἄνω πρὸς τὰ κάτω, μήτε τῶν κάτω πρὸς τὰ ἄνω στασιαζόντων, ἀλλὰ μιᾶς τῶν πάντων ἀποτελουμένης τάξεως, ἕνα καὶ μὴ πολλοὺς νοεῖν ἀκόλουθόν ἐστι τὸν ἄρχοντα καὶ βασιλέα τῆς πάσης κτίσεως, τὸν τῷ ἑαυτοῦ φωτὶ τὰ πάντα καταλάμποντα καὶ κινοῦντα.

XXXIX. *Οὐδὲ γὰρ πολλοὺς εἶναι δεῖ νομίζειν τοὺς τῆς κτίσεως ἄρχοντας καὶ ποιητὰς, ἀλλὰ πρὸς εὐσέβειαν ἀκριβῆ καὶ ἀλήθειαν, ἕνα τὸν ταύτης δημιουργὸν πιστεύειν προσήκει· καὶ τοῦτο τῆς κτίσεως αὐτῆς ἐμφανῶς δεικνυούσης. Γνώρισμα γὰρ ἀσφαλὲς τοῦ ἕνα τὸν ποιητὴν εἶναι τοῦ παντός ἐστι τοῦτο, τὸ μὴ πολλοὺς ἀλλ' ἕνα εἶναι τὸν κόσμον. Ἔδει γὰρ, εἴπερ ἦσαν πολλοὶ θεοὶ, πολλοὺς εἶναι καὶ διαφόρους τοὺς κόσμους. Οὔτε γὰρ ἔπρεπε τοὺς πολλοὺς ἕνα κόσμον κατασκευάζειν, οὔτε τὸν ἕνα ὑπὸ πολλῶν ποιεῖσθαι, διὰ τὰ ἐκ τούτων δεικνύμενα ἄτοπα. Πρῶτον μὲν ὅτι εἰ ὑπὸ πολλῶν ὁ εἷς ἐγεγόνει κόσμος, ἀσθένεια τῶν ποιησάντων ἦν· ὅτι ἐκ πολλῶν ἓν ἔργον ἀπετελέσθη· καὶ ἐκ τούτου γνώρισμα οὐ τὸ τυχὸν ἦν τῆς ἀτελοῦς ἑκάστου πρὸς τὸ ποιεῖν ἐπιστήμης. Εἰ γὰρ ἤρκει εἷς, οὐκ ἂν οἱ πολλοὶ τὴν ἀλλήλων ἀνεπλήρουν ἔλλειψιν. Ἐν Θεῷ δὲ λέγειν εἶναί τι ἐλλειπὲς, οὐ μόνον ἀσεβὲς, ἀλλὰ καὶ πέρα τῶν ἀθεμίτων ἐστί. Καὶ γὰρ καὶ τεχνίτην ἐν ἀνθρώποις οὐκ ἄν τις εἴποι τέλειον, ἀλλὰ ἀσθενῆ, εἰ μὴ μόνος, ἀλλὰ μετὰ πολλῶν ἓν ἀποτελοίη τὸ ἔργον. Εἰ δὲ ἕκαστος μὲν ἠδύνατο τὸ ὅλον ἀποτελέσαι, οἱ πάντες δὲ εἰργάσαντο διὰ τὴν τοῦ γιγνομένου κοινωνίαν, γελοῖον μὲν ἂν εἴη τὸ τοιοῦτον, εἰ διὰ δόξαν ἕκαστος εἰργάσατο, ἵνα μὴ ὡς ἀδύνα-*

τος ὑπονοηθῇ. Κενοδοξίαν δὲ πάλιν ἐν θεοῖς λέγειν τῶν ἀτοπωτάτων ἐστίν. Ἔπειτα εἰ ἕκαστος ἱκανὸς ἦν πρὸς τὴν τοῦ ὅλου δημιουργίαν, τίς ἡ χρεία τῶν πολλῶν, ἑνὸς αὐτάρκους γιγνομένου πρὸς τὸ πᾶν; Ἄλλως τε ἀσεβὲς καὶ ἄτοπον ἂν φανείη, εἰ τὸ μὲν ποίημα ἓν τυγχάνει, οἱ δὲ ποιήσαντες διάφοροι καὶ πολλοὶ, λόγου ὄντος φυσικοῦ τὸ ἓν καὶ τέλειον τῶν διαφόρων κρεῖττον εἶναι. Καὶ τοῦτο δὲ ἰστέον, ὅτι εἰ ὑπὸ πολλῶν ὁ κόσμος ἐγεγόνει, διαφόρους εἶχε καὶ τὰς κινήσεις καὶ ἀνομοίους ἑαυτῷ. Πρὸς ἕκαστον γὰρ τῶν ποιησάντων ἀποβλέπων, διαφόρους εἶχε καὶ τὰς κινήσεις. Ἐν δὲ τῇ διαφορᾷ, καθάπερ εἴρηται προτέρον, πάλιν ἦν ἀκοσμία καὶ τοῦ παντὸς ἀταξία· ἐπειδὴ οὐδὲ ναῦς ὑπὸ πολλῶν κυβερνωμένη κατ' ὀρθὸν πλευσεῖται, εἰ μὴ εἷς ταύτης τοὺς οἴακας κρατοίη κυβερνήτης· οὐδὲ λύρα ὑπὸ πολλῶν κρουομένη, σύμφωνον ἀποτελέσει τὸν ἦχον, εἰ μὴ εἷς ὁ ταύτην πλήττων εἴη τεχνίτης. Οὐκοῦν μιᾶς οὔσης τῆς κτίσεως, καὶ ἑνὸς ὄντος κόσμου, καὶ μιᾶς τῆς τούτου τάξεως, ἕνα δεῖ νοεῖν καὶ τὸν ταύτης βασιλέα καὶ δημιουργὸν Κύριον. Διὰ τοῦτο γὰρ καὶ αὐτὸς ὁ δημιουργὸς ἕνα τὸν σύμπαντα κόσμον πεποίηκεν, ἵνα μὴ τῇ τῶν πολλῶν συστάσει, πολλοὶ καὶ οἱ δημιουργοὶ νομίζοιντο· ἀλλ' ἑνὸς ὄντος τοῦ ποιήματος, εἷς καὶ ὁ τούτου ποιητὴς πιστεύηται. Καὶ οὐχ ὅτι εἷς ἐστὶν ὁ δημιουργὸς, διὰ τοῦτο καὶ εἷς ἐστὶν ὁ κόσμος· ἠδύνατο γὰρ καὶ ἄλλους κόσμους ποιῆσαι ὁ Θεὸς, ἀλλ' ὅτι εἷς ἐστὶν ὁ κόσμος ὁ γενόμενος, ἀνάγκη καὶ τὸν τούτου δημιουργὸν ἕνα πιστεύειν εἶναι.

XL. Τίς οὖν ἂν εἴη οὗτος; καὶ τοῦτο γὰρ ἀναγκαῖον μάλιστα δηλῶσαι καὶ λέγειν, ἵνα μὴ τῇ περὶ τοῦτον ἀγνοίᾳ πλανηθείς τις, ἕτερον ὑπολάβῃ, καὶ εἰς τὴν αὐτὴν πάλιν τοῖς πρότερον ἀθεότητα ἐμπέσῃ. Νομίζω δὲ μηδένα περὶ τούτου τὴν διάνοιαν ἀμφίβολον ἔχειν. Εἰ γὰρ δὴ τοὺς παρὰ ποιηταῖς λεγομένους θεοὺς, οὐκ εἶναι θεοὺς ὁ λόγος ἔδειξε, καὶ τοὺς τὴν κτίσιν θεοποιοῦντας ἤλεγξε πλανω-

XL. 2. τοῦτον] Ita Ben. Bodl. et unus ap. Ben. τούτου, alii τούτων.

μένους, καὶ καθόλου τὴν τῶν ἐθνῶν εἰδωλολατρείαν, ἀθεότητα καὶ ἀσέβειαν οὖσαν ἀπέδειξεν, ἀνάγκη πᾶσα τούτων ἀναιρουμένων, λοιπὸν παρ' ἡμῖν εἶναι τὴν εὐσεβῆ θρησκείαν, καὶ τὸν παρ' ἡμῶν προσκυνούμενον καὶ κηρυττόμενον, τοῦτον μόνον εἶναι Θεὸν ἀληθῆ, τὸν καὶ τῆς κτίσεως Κύριον καὶ πάσης ὑποστάσεως δημιουργόν. Τίς δὴ οὖν ἐστιν οὗτος, ἀλλ' ἢ ὁ πανάγιος καὶ ὑπερεπέκεινα πάσης γενητῆς οὐσίας, ὁ τοῦ Χριστοῦ Πατὴρ, ὅστις καθάπερ ἄριστος κυβερνήτης, τῇ ἰδίᾳ Σοφίᾳ καὶ τῷ ἰδίῳ Λόγῳ τῷ Κυρίῳ ἡμῶν καὶ Σωτῆρι Χριστῷ, τὰ πανταχοῦ διακυβερνᾷ σωτηρίως καὶ διακοσμεῖ, καὶ ποιεῖ, ὡς ἂν αὐτῷ καλῶς ἔχειν δοκῇ; ἔχει δὲ καλῶς, ὡς γέγονε καὶ ὁρῶμεν γιγνόμενα, ἐπειδὴ καὶ τοῦτο βούλεται· καὶ τοῦτο οὐκ ἄν τις ἀπιστήσειεν. Εἰ μὲν γὰρ ἄλογος ἦν ἡ τῆς κτίσεως κίνησις, καὶ ἁπλῶς ἐφέρετο τὸ πᾶν, καλῶς ἄν τις καὶ τοῖς λεγομένοις ἠπίστησεν. Εἰ δὲ λόγῳ καὶ σοφίᾳ καὶ ἐπιστήμῃ συνέστηκε, καὶ παντὶ κόσμῳ διακεκόσμηται, ἀνάγκη τὸν ἐπικείμενον καὶ διακοσμήσαντα, τοῦτον οὐκ ἄλλον τινὰ ἢ Λόγον εἶναι τοῦ Θεοῦ. Λόγον δέ φημι, οὐ τὸν ἐν ἑκάστῳ τῶν γενομένων συμπεπλεγμένον καὶ συμπεφυκότα, ὃν δὴ καὶ σπερματικόν τινες εἰώθασι καλεῖν, ἄψυχον ὄντα καὶ μηδὲν λογιζόμενον μήτε νοοῦντα, ἀλλὰ τῇ ἔξωθεν τέχνῃ μόνον ἐνεργοῦντα κατὰ τὴν τοῦ ἐπιβάλλοντος αὐτὸν ἐπιστήμην· οὐδὲ οἷον ἔχει τὸ λογικὸν γένος λόγον, τὸν ἐκ συλλαβῶν συγκείμενον, καὶ ἐν ἀέρι σημαινόμενον, ἀλλὰ τὸν τοῦ ἀγαθοῦ καὶ Θεοῦ τῶν ὅλων ζῶντα καὶ ἐνεργῆ Θεὸν αὐτολόγον λέγω, ὃς ἄλλος μέν ἐστι τῶν γενητῶν καὶ πάσης τῆς κτίσεως, ἴδιος δὲ καὶ μόνος τοῦ ἀγαθοῦ Πατρὸς ὑπάρχει Λόγος, ὃς τόδε τὸ πᾶν διεκόσμησε καὶ φωτίζει τῇ ἑαυτοῦ προνοίᾳ. Ἀγαθοῦ γὰρ Πατρὸς ἀγαθὸς Λόγος ὑπάρχων, αὐτὸς τὴν τῶν πάντων διεκόσμησε διάταξιν, τὰ μὲν ἐναντία τοῖς ἐναντίοις συνάπτων· ἐκ τούτων δὲ μίαν διακοσμῶν ἁρμονίαν. Οὗτος Θεοῦ Δύναμις καὶ Θεοῦ Σοφία ὢν, οὐρανὸν μὲν περιστρέφει, γῆν δὲ ἀναρτήσας, καὶ ἐπὶ μηδενὸς κειμένην τῷ ἰδίῳ νεύματι ἥδρασε. Τούτῳ φωτιζόμενος ἥλιος τὴν οἰκου-

μένην καταυγάζει, καὶ σελήνη μεμετρημένον ἔχει τὸ φῶς. Διὰ τοῦτον καὶ τὸ ὕδωρ ἐπὶ νεφελῶν κρεμᾶται, καὶ ὑετοὶ τὴν γῆν ἐπικλύζουσι, καὶ ἡ μὲν θάλασσα περιορίζεται, ἡ δὲ γῆ παντοίοις φυτοῖς καὶ κομᾷ καὶ χλοηφορεῖ. Καὶ εἴ τις ἄπιστος ζητοίη περὶ τῶν λεγομένων, εἰ ὅλως ἔστι Λόγος Θεοῦ, μαίνοιτο μὲν ὁ τοιοῦτος ἀμφιβάλλων περὶ Λόγου Θεοῦ· ἔχει δὲ ὅμως ἐκ τῶν ὁρωμένων τὴν ἀπόδειξιν· ὅτι πάντα Λόγῳ Θεοῦ καὶ σοφίᾳ συνέστηκε, καὶ οὐκ ἂν ἡδράσθη τι τῶν γενομένων, εἰ μὴ λόγῳ ἐγεγόνει καὶ Λόγῳ τῷ θείῳ, καθάπερ ἐλέχθη.

XLI. Λόγος δὲ ὤν, οὐ κατὰ τὴν ἀνθρώπων ὁμοιότητα, ὥσπερ εἶπόν, ἐστι συγκείμενος ἐκ συλλαβῶν· ἀλλὰ τοῦ ἑαυτοῦ Πατρὸς εἰκών ἐστιν ἀπαράλλακτος. Ἄνθρωποι μὲν γὰρ ἐκ μερῶν συγκείμενοι, καὶ ἐκ τοῦ μὴ ὄντος γενόμενοι, συγκείμενον ἔχουσι καὶ διαλυόμενον τὸν ἑαυτῶν λόγον· ὁ δὲ Θεὸς ὤν ἐστι, καὶ οὐ σύνθετος· διὸ καὶ ὁ τούτου Λόγος ὤν ἐστι, καὶ οὐ σύνθετος, ἀλλ' εἷς καὶ μονογενὴς Θεὸς, ὁ καὶ ἐκ Πατρὸς οἷα πηγῆς ἀγαθῆς ἀγαθὸς προελθὼν, τὰ πάντα διακοσμεῖ καὶ συνέχει. Ἡ δὲ αἰτία δι' ἣν ὁ Λόγος, ὁ τοῦ Θεοῦ Λόγος, τοῖς γενομένοις ἐπιβέβηκέν, ἐστιν ἀληθῶς θαυμαστὴ καὶ γνωρίζουσα, ὅτι οὐκ ἄλλως ἔπρεπεν, ἢ οὕτω γενέσθαι ὥσπερ καὶ ἔστι. Τῶν μὲν γὰρ γενητῶν ἡ φύσις, ἅτε δὴ ἐξ οὐκ ὄντων ὑποστᾶσα, ῥευστή τις καὶ ἀσθενὴς καὶ θνητὴ καθ' ἑαυτὴν συγκρινομένη τυγχάνει. Ὁ δὲ τῶν ὅλων Θεὸς ἀγαθὸς καὶ ὑπέρκαλος τὴν φύσιν ἐστί· διὸ καὶ φιλάνθρωπός ἐστιν. Ἀγαθῷ γὰρ περὶ οὐδενὸς ἂν γένοιτο φθόνος· ὅθεν οὐδὲ τὸ εἶναί τινι

44. τοῦτον] al. τοῦτο.

51. Λόγῳ] In hoc argumento cavendum est ne plus quam oportet ratiocinationi humanæ tribuamus. Ex creatura enim colligi potest omnia summa ratione facta esse atque adhuc gubernari, neque aliam eam rationem esse atque ipsam Divinam Sapientiam. De mysterio autem sanctissimæ Trinitatis nihil certi habet quod doceat philosophia. Rem prorsus extra fines intelligentiæ nostræ positam Revelatione divinitus facta venerantes agnoscimus. Hic vero observandum est quosdam ex Ethnicis omnia Naturæ cuidam cæcæ tribuisse, quæ mundi potius anima appellanda esset quam sapientia omnium gubernatrix. Vide etiam quæ supra annotavimus in S. Clem. Alex. P. 68. l. 15.

XLI. 8. ὁ καὶ] Bodl. ὃς καὶ, quod si receperis facilior est constructio.

φθονεῖ, ἀλλὰ πάντας εἶναι βούλεται, ἵνα καὶ φιλανθρωπεύεσθαι δύνηται. Ὁρῶν οὖν τὴν γενητὴν πᾶσαν φύσιν, ὅσον κατὰ τοὺς ἰδίους αὐτῆς λόγους, ῥευστὴν οὖσαν καὶ διαλυομένην, ἵνα μὴ τοῦτο πάθῃ, καὶ πάλιν εἰς τὸ μὴ εἶναι ἀναλυθῇ τὸ ὅλον, τούτου ἕνεκεν τῷ ἑαυτοῦ καὶ ἀϊδίῳ Λόγῳ ποιήσας τὰ πάντα, καὶ οὐσιώσας τὴν κτίσιν, οὐκ ἀφῆκεν αὐτὴν τῇ ἑαυτῆς φύσει φέρεσθαι καὶ χειμάζεσθαι· ἵνα μὴ κινδυνεύσῃ πάλιν εἰς τὸ μὴ εἶναι· ἀλλ' ὡς ἀγαθὸς τῷ ἑαυτοῦ Λόγῳ καὶ αὐτῷ ὄντι Θεῷ τὴν σύμπασαν διακυβερνᾷ καὶ καθίστησιν, ἵνα τῇ τοῦ Λόγου ἡγεμονίᾳ καὶ προνοίᾳ καὶ διακοσμήσει φωτιζομένη ἡ κτίσις, βεβαίως διαμένειν δυνηθῇ, ἅτε δὴ τοῦ ὄντως ὄντος ἐκ Πατρὸς Λόγου μεταλαμβάνουσα καὶ βοηθουμένη δι' αὐτοῦ εἰς τὸ εἶναι, μὴ ἄρα πάθῃ ὅπερ ἂν ἔπαθεν, εἰ μὴ ὁ Λόγος αὐτὴν ἐτήρει· λέγω δὴ τὸ μὴ εἶναι. "Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης Col. i. 15.
" κτίσεως." Ὅτι δι' αὐτοῦ καὶ ἐν αὐτῷ συνέστηκε τὰ πάντα τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, " καὶ αὐτός ἐστιν ἡ Ib. 18.
" κεφαλὴ τῆς Ἐκκλησίας," ὡς οἱ τῆς ἀληθείας διάκονοι διδάσκουσιν ἐν ἁγίοις γράμμασιν.

XLII. Αὐτὸς γοῦν ὁ παντοδύναμος καὶ παντέλειος ἅγιος ὁ τοῦ πατρὸς Λόγος, ἐπιβὰς τοῖς πᾶσι καὶ πανταχοῦ τὰς ἑαυτοῦ δυνάμεις ἐφαπλώσας, καὶ φωτίσας τά τε φαινόμενα καὶ τὰ ἀόρατα πάντα, εἰς ἑαυτὸν συνέχει καὶ συσφίγγει, μηδὲν ἔρημον τῆς ἑαυτοῦ δυνάμεως ἀπολελοιπώς, ἀλλὰ πάντα καὶ διὰ πάντων, καὶ ἕκαστον ἰδίᾳ, καὶ ἀθρόως ὁμοῦ τὰ ὅλα ζωοποιῶν καὶ διαφυλάττων· τάς τε ἀρχὰς πάσης αἰσθητῆς οὐσίας, αἵπερ εἰσὶ θερμὴ καὶ ψυχρὰ καὶ ὑγρὰ καὶ ξηρά, εἰς ἓν συγκεραννύων, ποιεῖ μὴ ἀντιστατεῖν, ἀλλὰ μίαν καὶ σύμφωνον ἀποτελεῖν ἁρμονίαν. Δι' αὐτὸν καὶ τὴν αὐτοῦ δύναμιν, οὔτε τὸ πῦρ τῷ ψυχρῷ μάχεται, οὔτε τὸ ὑγρὸν τῷ ξηρῷ· ἀλλ' ὡς φίλα καὶ ἀδελφὰ τὰ καθ' ἑαυτὰ ὄντα ἐναντία, συνελθόντα ὁμοῦ, τά τε φαινόμενα

33. συνέστηκε] Hæc etiam apud S. Paulum extant quoad sensum, alio tamen verborum ordine.

35. ὡς οἱ] Ben. ὡς sine οἱ, Bodl. et alii οἱ sine ὡς, unus ap. Ben. ἡ, et in marg. *forte* ἦν. Mallem ᾖ.

ζωογονοῦσι, καὶ τοῦ εἶναι τοῖς σώμασιν ἀρχαὶ γίνονται. Τούτῳ τῷ Θεῷ Λόγῳ πειθόμενα τὰ μὲν ἐπὶ γῆς ζωο-γονεῖται, τὰ δὲ ἐν τοῖς οὐρανοῖς συνίσταται. Καὶ διὰ τοῦτον θάλαττα μὲν πᾶσα καὶ ὁ μέγας Ὠκεανὸς, ὅροις τοῖς ἰδίοις ἔχουσι τὴν ἑαυτῶν κίνησιν. Ἡ δὲ ξηρὰ πᾶσα χλοηφορεῖ καὶ κομᾷ παντοίοις καὶ διαφόροις φυτοῖς, ὡς προείρηται. Καὶ ἵνα μὴ τὸ καθέκαστον ἐπὶ φανεροῖς ὀνομάζων ἐνδια-τρίβω, οὐδέν ἐστι τῶν ὄντων καὶ γινομένων, ὃ μὴ ἐν αὐτῷ καὶ δι' αὐτοῦ γέγονε καὶ ἕστηκεν, ᾗ φησὶ καὶ ὁ θεολόγος

Joan. i. 1. ἀνήρ· "Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, "καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν." Οἷον γὰρ εἴ τις λύραν μουσικὸς ἁρμοσάμενος καὶ τὰ βαρέα τοῖς ὀξέσι, καὶ τὰ μέσα τοῖς ἄλλοις τῇ τέχνῃ συναγαγὼν, ἓν τὸ σημαινόμενον μέλος ἀποτελοίη, οὕτω καὶ ἡ τοῦ Θεοῦ Σοφία, τὸ ὅλον ὡς λύραν ἐπέχων, καὶ τὰ ἐν ἀέρι τοῖς ἐπὶ γῆς συναγαγὼν, καὶ τὰ ἐν οὐρανῷ τοῖς ἐν ἀέρι, καὶ τὰ ὅλα τοῖς κατὰ μέρος συνάπτων καὶ περιάγων τῷ ἑαυτοῦ νεύματι καὶ θελήματι, ἕνα τὸν κόσμον καὶ μίαν τὴν τούτου τάξιν ἀποτελεῖ καλῶς καὶ ἡρμοσμένως, αὐτὸς μὲν ἀκίνητος μένων παρὰ τῷ Πατρὶ, πάντα δὲ κινῶν τῇ ἑαυτοῦ συστάσει, ὡς ἂν ἕκαστον τῷ ἑαυτοῦ Πατρὶ δοκῇ. Τὸ γὰρ παράδοξον αὐτοῦ τῆς θεότητος τοῦτό ἐστιν, ὅτι ἑνὶ καὶ τῷ αὐτῷ νεύματι πάντα ὁμοῦ καὶ οὐκ ἐκ δια-στημάτων, ἀλλ' ἀθρόως ὅλα τά τε ὀρθὰ, καὶ τὰ περιφερῆ, τὰ ἄνω, τὰ μέσα, τὰ κάτω, τὰ ὑγρὰ, τὰ ψυχρὰ, τὰ θερμὰ, τὰ φαινόμενα καὶ τὰ ἀόρατα περιάγει καὶ διακοσμεῖ κατὰ τὴν ἑκάστου φύσιν. Ὁμοῦ γὰρ τῷ αὐτῷ νεύματι αὐτοῦ, τὸ μὲν ὀρθὸν ὡς ὀρθὸν, τὸ δὲ περιφερὲς περιάγεται, τὸ δὲ μέσον, ὡς ἔστι κινεῖται· τὸ θερμὸν θερμαίνεται, καὶ τὸ ξηρὸν ξηραίνεται· καὶ τὰ ὅλα ὡς ἔχει φύσεως ζωοποιεῖται

XLII. 14. ζωογονοῦσι] Bodl. et alii quidam ζωογονεῖ, neque ordinarie adjungit noster verbum plurale cum plurali neutrius generis; hic vero sequitur annexum ἀρχαὶ γίνονται. Vide etiam xxxvii. 18. ubi Bodl. ἐστασίασεν.

25. οὐδὲ ἕν] Addunt ὃ γέγονεν Bodl. et 1 ap. Ben.

41. ὡς ὀρθόν] Supple κινεῖται, quod proxime sequitur.

καὶ συνίσταται παρ' αὐτοῦ· καὶ θαυμαστή τις καὶ θεία ἀληθῶς ἁρμονία ἀποτελεῖται δι' αὐτοῦ.

XLIII. *Καὶ ἵνα ἐκ παραδείγματος τὸ τηλικοῦτον νοηθείη, ἔστω τὸ λεγόμενον ὡς ἐν εἰκόνι χοροῦ μεγάλου. Ὡς τοίνυν τοῦ χοροῦ συνεστῶτος ἐκ διαφόρων ἀνθρώπων, παίδων, γυναικῶν αὖ καὶ γερόντων, καὶ τῶν ἔτι νέων· καὶ ἑνὸς τοῦ καθηγεμόνος σημαίνοντος, ἕκαστος μὲν κατὰ τὴν φύσιν ἑαυτοῦ καὶ δύναμιν φωνεῖ, ὁ μὲν ἀνὴρ ὡς ἀνήρ, ὁ δὲ παῖς ὡς παῖς, ὁ δὲ γέρων ὡς γέρων, καὶ ὁ νέος ὡς νέος, πάντες δὲ μίαν ἀποτελοῦσιν ἁρμονίαν. Ἢ ὡς ἡ καθ' ἡμᾶς ψυχὴ ἐν ταὐτῷ τὰς ἐν ἡμῖν αἰσθήσεις κατὰ τὴν ἑκάστης ἐνέργειαν κινεῖ, ὥστε παρόντος πράγματος ἑνὸς τὰς πάσας ὁμοῦ κινεῖσθαι, καὶ τὸν μὲν ὀφθαλμὸν ὁρᾶν, τὴν δὲ ἀκοὴν ἀκούειν, τὴν δὲ χεῖρα ἅπτεσθαι, καὶ τὴν ὄσφρησιν ἀντιλαμβάνεσθαι, καὶ τὴν γεῦσιν γεύεσθαι· πολλάκις δὲ καὶ τὰ ἄλλα μέρη τοῦ σώματος, ὥστε καὶ τοὺς πόδας περιπατεῖν. Ἢ ἵνα καὶ τρίτῳ παραδείγματι τὸ λεγόμενον σημανθῇ, ἔοικεν οἰκοδομηθείσῃ μάλιστα μεγάλῃ πόλει, καὶ οἰκονομουμένῃ ἐπὶ παρουσίᾳ τοῦ καὶ ταύτην οἰκοδομήσαντος ἄρχοντος καὶ βασιλέως. Ἐκείνου γὰρ παρόντος καὶ προστάττοντος, καὶ πρὸς πάντα τὸν ὀφθαλμὸν τείνοντος, ἑπόμενοι πάντες, οἱ μὲν ἐπὶ τὴν γεωργίαν, οἱ δὲ ἐπὶ τοὺς ὑδραγωγοὺς ὑδρευσόμενοι σπεύδουσιν, ἄλλος δὲ ἐπισιτισόμενος προέρχεται, καὶ ὁ μὲν ἐπὶ τὴν βουλὴν βαδίζει, ὁ δὲ ἐπὶ τὴν ἐκκλησίαν εἰσέρχεται, καὶ ὁ μὲν δικαστὴς ἐπὶ τὸ δικάζειν, ὁ δὲ ἄρχων ἐπὶ τὸ θεσμοθετεῖν. Καθίσταται δὲ εὐθέως ὁ μὲν τεχνίτης ἐπὶ τὴν ἐργασίαν, ὁ δὲ ναύτης ἐπὶ τὴν θάλατταν κατέρχεται, ὁ τέκτων ἐπὶ τὸ τεκτονεύειν, ὁ ἰατρὸς ἐπὶ τὴν θεραπείαν, ὁ οἰκοδόμος ἐπὶ τὴν οἰκοδομήν· καὶ ὁ μὲν εἰς τὸν ἀγρὸν βαδίζει, ὁ δὲ ἀπὸ τοῦ ἀγροῦ ἀνέρχεται, καὶ οἱ μὲν περὶ τὴν πόλιν ἀναστρέφονται, οἱ δὲ ἀπὸ τῆς πόλεως ἐξέρχονται, καὶ πάλιν εἰς αὐτὴν ἐπανέρχονται. Πάντα δὲ ταῦτα τῇ παρουσίᾳ τοῦ ἑνὸς ἄρχοντος, καὶ τῇ τούτου*

XLIII. 13. *μέρη*] Ita Bodl. et alii. Ben. *μέλη*, unum ut videtur codicem secutus.

διατάξει γίγνονται, καὶ συνίστανται. Κατὰ ταῦτα δὴ καὶ ἐπὶ τῆς συμπάσης κτίσεως, κἂν μικρὸν ᾖ τὸ παράδειγμα, ὅμως μείζονι διανοίᾳ χρὴ νοεῖν. Ὑπὸ γὰρ μιᾶς ῥιπῆς νεύματός τινος τοῦ Θεοῦ Λόγου ὁμοῦ τὰ πάντα διακοσμεῖται, καὶ τὰ οἰκεῖα παρ' ἑκάστου γίγνεται, καὶ παρὰ πάντων ὁμοῦ μία τάξις ἀποτελεῖται.

XLIV. Νεύματι γὰρ καὶ ταῖς δυνάμεσι τοῦ ἐπιστατοῦντος καὶ ἡγεμονεύοντος τῶν πάντων θείου καὶ Πατρικοῦ Λόγου, οὐρανὸς μὲν περιστρέφεται, τὰ δὲ ἄστρα κινεῖται, καὶ ὁ μὲν ἥλιος φαίνει, ἡ δὲ σελήνη περιπολεῖ, καὶ ὁ ἀὴρ μὲν ὑπ' αὐτοῦ φωτίζεται, αἰθὴρ δὲ θερμαίνεται, καὶ ἄνεμοι πνέουσι· τὰ ὄρη εἰς ὕψος ἀνατεταμένα ἵσταται, ἡ θάλασσα κυμαίνει, καὶ τὰ ἐν αὐτῇ ζῶα τρέφεται, ἡ γῆ ἀκίνητος μένουσα καρποφορεῖ, καὶ ὁ ἄνθρωπος πλάττεται, καὶ ζῇ, καὶ ἀποθνήσκει πάλιν· καὶ ἁπλῶς πάντα ψυχοῦται καὶ κινεῖται· τὸ πῦρ καίει, τὸ ὕδωρ ψύχει, πηγαὶ ἀναβλύζουσι, ποταμοὶ πλημμυροῦσι, καιροὶ καὶ ὧραι παραγίγνονται, ὑετοὶ κατέρχονται, τὰ νέφη πληροῦται, χάλαζα γίνεται, χιὼν καὶ κρύσταλλος πήγνυται, πετεινὰ ἵπταται, ἑρπετὰ πορεύεται, ἔνυδρα νήχεται, θάλαττα πλέεται, γῆ σπείρεται καὶ κατὰ τοὺς ἰδίους καιροὺς χλοηφορεῖ, φυτὰ αὔξει, καὶ τὰ μὲν νεάζει, τὰ δὲ πεπαίνεται, τὰ δὲ αὐξάνοντα γηράσκει καὶ φθίνει, καὶ τὰ μὲν ἀφανίζεται, τὰ δὲ γεννᾶται καὶ φαίνεται. Ταῦτα δὲ πάντα, καὶ ἔτι πλείω τούτων, ἃ διὰ τὸ πλῆθος οὐκ ἰσχύομεν ἡμεῖς λέγειν, ὁ παραδοξοποιὸς καὶ θαυματοποιὸς τοῦ Θεοῦ Λόγος φωτίζων καὶ ζωοποιῶν, τῷ ἑαυτοῦ νεύματι κινεῖ, καὶ διακοσμεῖ, ἕνα τὸν κόσμον ἀποτελῶν, οὐκ ἔξωθεν ἑαυτοῦ καὶ τὰς ἀοράτους δυνάμεις ἀφείς· καὶ γὰρ καὶ ταύτας, οἷα δὴ καὶ αὐτῶν ποιητὴς ὑπάρχων, συμπεριλαβὼν ἐν τοῖς ὅλοις, συνέχει καὶ ζωοποιεῖ πάλιν τῷ ἑαυτοῦ νεύματι, καὶ τῇ ἑαυτοῦ προνοίᾳ· καὶ τούτου οὐκ ἄν τι γένοιτο πρὸς ἀπιστίαν ἐφόδιον. Ὡς γὰρ τῇ ἑαυτοῦ προνοίᾳ καὶ σώματα μὲν αὔξει, ψυχὴ δὲ ἡ λογικὴ κινεῖται, καὶ τὸ λογίζεσθαι καὶ τὸ ζῆν ἔχει, καὶ τοῦτο οὐ πολλῆς ἀποδείξεως δεῖται· ὁρῶμεν γὰρ τὰ γινόμενα·

οὕτω δὴ πάλιν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἑνὶ καὶ ἁπλῷ νεύματι, τῇ ἑαυτοῦ δυνάμει τόν τε ὁρατὸν κόσμον καὶ τὰς ἀοράτους δυνάμεις κινεῖ καὶ συνέχει, ἑκάστῳ τὴν ἰδίαν ἐνέργειαν ἀποδιδούς· ὥστε τὰς μὲν θείας θειοτέρως κινεῖσθαι, τὰ δὲ ὁρατὰ ὥσπερ καὶ ὁρᾶται. Αὐτὸς δὲ ἐπὶ πάντων ἡγεμών τε καὶ βασιλεὺς καὶ σύστασις γινόμενος τῶν πάντων, τὰ πάντα πρὸς δόξαν καὶ γνῶσιν τοῦ ἑαυτοῦ Πατρὸς ἐργάζεται, μονονουχὶ διὰ τῶν γιγνομένων ἔργων αὐτοῦ διδάσκων καὶ λέγων· "Ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων, "ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται." Sap. xiii. 5.

XLV. Ὥσπερ γὰρ ἀναβλέψαντας εἰς τὸν οὐρανὸν, καὶ ἰδόντας τὸν κόσμον αὐτοῦ, καὶ τὸ τῶν ἄστρων φῶς, ἔστιν ἐνθυμεῖσθαι τὸν ταῦτα διακοσμοῦντα Λόγον· οὕτως νοοῦντας Λόγον Θεοῦ, νοεῖν ἐστὶν ἀνάγκη καὶ τὸν τούτου Πατέρα Θεὸν, ἐξ οὗ προϊὼν, εἰκότως τοῦ ἑαυτοῦ Πατρὸς Ἑρμηνεὺς καὶ Ἄγγελος λέγεται. Καὶ τοῦτο ἐκ τῶν καθ' ἡμᾶς τις ἂν ἴδοι. Εἰ γὰρ δὴ λόγου προϊόντος παρὰ ἀνθρώπων, ἐνθυμούμεθα τὴν τούτου πηγὴν εἶναι τὸν νοῦν, καὶ τῷ λόγῳ ἐπιβάλλοντες, τὸν νοῦν σημαινόμενον ὁρῶμεν τῷ λογισμῷ, πολλῷ πλέον μείζονι φαντασίᾳ καὶ ἀσυγκρίτῳ ὑπεροχῇ τοῦ Λόγου τὴν δύναμιν ὁρῶντες, ἔννοιαν λαμβάνομεν καὶ τοῦ ἀγαθοῦ Πατρὸς αὐτοῦ, ὡς αὐτὸς ὁ Σωτήρ φησιν· "Ὁ ἐμὲ ἑωρακὼς, ἑώρακε τὸν Πατέρα μου." Joan. xiv. 9. Ταῦτα δὲ καὶ πᾶσα θεόπνευστος γραφὴ φανερώτερον καὶ κατὰ μεῖζον κηρύττει, ἀφ' ὧν δὴ καὶ ἡμεῖς τεθαρρηκότες ταῦτά σοι γράφομεν· καί συ ταύταις ἐντυγχάνων, δυνήσῃ τῶν λεγομένων ἔχειν τὴν πίστιν. Λόγος γὰρ ἐκ μειζόνων βεβαιούμενος ἀναντίρρητον ἔχει τὴν ἀπόδειξιν. Ἄνωθεν τοίνυν περὶ τῆς τῶν εἰδώλων ἀναιρέσεως προησφαλίζετο τὸν Ἰουδαίων λαὸν ὁ θεῖος Λόγος λέγων· "Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς "ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω." Exod. xx. 4. Τὴν δὲ αἰτίαν τῆς τούτων καθαιρέσεως, ἑτέρως σημαίνει λέγων· "Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα "χειρῶν ἀνθρώπων· στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφ- "θαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι, καὶ Ps. cxv. 4—7.

“οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται· “χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι. Πόδας ἔχουσι, “καὶ οὐ περιπατήσουσιν.” Οὐ σεσιώπηκε δὲ τὴν περὶ τῆς κτίσεως διδασκαλίαν· ἀλλὰ καὶ μάλα εἰδὼς αὐτῶν τὸ κάλλος· ἵνα μή τινες τῷ κάλλει τούτων ἐναποβλέψαντες, οὐχ ὡς ἔργα Θεοῦ, ἀλλ’ ὡς θεοὺς θρησκεύσωσι· προασφα-
Deut. iv. 19. λίζεται τοὺς ἀνθρώπους λέγων· “Καὶ μὴ ἀναβλέψας “τοῖς ὀφθαλμοῖς καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην, “καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς, προσκυ- “νήσῃς αὐτοῖς, ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς “ἔθνεσι τοῖς ὑποκάτω τοῦ οὐρανοῦ.” Ἀπένειμε δὲ, οὐκ εἰς τὸ εἶναι θεοὺς αὐτοῖς αὐτὰ, ἀλλ’ ἵνα τῇ τούτων ἐνεργείᾳ γινώσκωσιν οἱ ἀπὸ τῶν ἐθνῶν τὸν τῶν πάντων δημιουργὸν Θεὸν ὥσπερ εἴρηται. Ὁ γὰρ Ἰουδαίων πάλαι λαὸς κατὰ πλεῖον εἶχε τὴν διδασκαλίαν· ὅτι μὴ μόνον ἐκ τῶν τῆς κτίσεως ἔργων, ἀλλὰ καὶ ἐκ τῶν θείων γραφῶν εἶχον τὴν περὶ Θεοῦ γνῶσιν. Καὶ καθόλου δὲ τοὺς ἀνθρώπους ἀπὸ τῆς περὶ τὰ εἴδωλα πλάνης καὶ ἀλόγου φαντασίας
Exod. xx. 3. ἀφέλκων, φησίν· “Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ.” Οὐχ ὡς ὄντων δὲ θεῶν ἄλλων κωλύει τούτους αὐτοὺς ἔχειν, ἀλλ’ ἵνα μή τις τὸν ἀληθινὸν ἀποστραφεὶς Θεὸν, ἑαυτῷ τὰ μὴ ὄντα θεοποιεῖν ἄρξηται, ὁποῖοί εἰσιν οἱ παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ὀνομασθέντες καὶ δειχθέντες οὐκ ὄντες θεοί. Καὶ αὐτὴ δὲ ἡ λέξις τὸ μὴ εἶναι αὐτοὺς θεοὺς δείκνυσι, δι’ ἧς φησὶν, “Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι,” ὅπερ ἐπὶ μέλλοντος σημαίνεται. Τὸ δὲ ἐπὶ μέλλουσι γινόμενον, οὐκ ἔστι τότε, ὅτε ταῦτα λέγεται.

XLVI. Ἆρ’ οὖν ἀνελὼν τὴν τῶν ἐθνῶν ἢ εἰδώλων ἀθεότητα, σεσιώπηκεν ἡ ἔνθεος διδασκαλία, καὶ ἁπλῶς ἀφῆκε τὸ τῶν ἀνθρώπων γένος ἄμοιρον τῆς τοῦ Θεοῦ γνώσεως φέρεσθαι; Οὐχί γε, ἀλλὰ καὶ προαπαντᾷ τῇ διανοίᾳ λέ-

XLV. 48. δειχθέντες] Ab ipsis scilicet poetis &c. res Divina natura indignas narrantibus.

XLVI. 1. ἀνελὼν] Genere masculino utitur haud prorsus uti paulo ante cum nomine Σοφία, neque enim διδασκαλία Verbi nomen est, sed absolute, quasi dixisset τοῦ Θεοῦ vel τοῦ Λόγου ἀνελόντος.

γουσα· "Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου Κύριος εἷς "ἐστί." [Deut. vi. 4.] Καὶ πάλιν· "Ἀγαπήσεις Κύριον τὸν Θεόν σου "ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σου·" [Ib. 5.] καὶ πάλιν· "Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ "λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ." [Ib. 13.] Ὅτι δὲ καὶ ἡ διὰ πάντων καὶ ἡ εἰς πάντα τοῦ Λόγου πρόνοια καὶ διακόσμησις ἀπὸ πάσης τῆς θεοπνεύστου γραφῆς μαρτυρεῖται, ἀρκεῖ τὰ νῦν λεγόμενα δεῖξαι τοῦ λόγου τὴν πίστιν, ἥ φασιν οἱ θεολόγοι ἄνδρες· "Ἐθεμελίωσας τὴν γῆν καὶ δια-"μένει· τῇ διατάξει σου διαμένει ἡ ἡμέρα." [Ps. cxix. 90.] Καὶ πάλιν· "Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ, τῷ περιβάλλοντι τὸν "οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετὸν, τῷ "ἐξαγαγόντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν "ἀνθρώπων, καὶ διδόντι τοῖς κτήνεσι τροφήν." [Ps. cxlvii. 7—9.] Διὰ τίνος δὲ δίδωσιν ἢ δι' οὗ καὶ τὰ πάντα γέγονε; δι' οὗ γὰρ γέγονε, δι' αὐτοῦ καὶ ἡ τῶν πάντων ἀκολούθως ἐστὶ πρόνοια· τίς οὖν ἂν εἴη οὗτος, ἢ ὁ τοῦ Θεοῦ Λόγος; περὶ οὗ καὶ ἐν ἑτέρῳ ψαλμῷ λέγει· "Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ "ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα "ἡ δύναμις αὐτῶν." [Ps. xxxiii. 6.] Καὶ γὰρ τὰ πάντα ἐν αὐτῷ καὶ δι' αὐτοῦ γενόμενα διαλέγεται. Ἀφ' ὧν καὶ ἡμᾶς πείθει λέγουσα, "Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ "ἐκτίσθησαν·" [Ib. 9.] καθὼς καὶ ὁ πάντα μέγας Μωυσῆς ἐν ἀρχῇ τῆς κοσμοποιίας βεβαιοῖ τὸ λεγόμενον ἐξηγούμενος καὶ λέγων· "Καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα "ἡμετέραν, καὶ καθ' ὁμοίωσιν." [Gen. i. 26.] Ἐπειδὴ καὶ τὴν οὐρανοῦ καὶ γῆς καὶ πάντων ὑφιστὰς γένεσιν, αὐτῷ εἶπεν ὁ Πατὴρ, "Γενηθήτω οὐρανὸς," καὶ "συναχθήτω τὰ ὕδατα, καὶ ὀφ-"θήτω ἡ ξηρά·" καὶ "ἐξαγαγέτω ἡ γῆ βοτάνην," [Gen. i. 6, 9, 11.] καὶ "πᾶν ζῶον·" ἀφ' ὧν καὶ Ἰουδαίους ἄν τις ἐλέγξειεν

9. *καὶ πρὸς αὐτὸν κολληθήσῃ*] Hæc apud LXX Interpretes inveniuntur, necnon in codicibus quibusdam Hebraicis legitur ובו חדבק.

17. *τῇ δουλείᾳ*] Jumentis, quæ hominibus inserviunt.

25. *διαλέγεται*] Scilicet in Sacra Scriptura, sed Bodl. et alii quidam *διάγεται*.

33. *βοτάνην*] 2 ap. Ben. *βοτάνην χόρτου*, uti legitur in Textu.

οὐ γνησίως ἐφιστάνοντας ταῖς γραφαῖς. Τίνι γὰρ, ἄν τις εἴποι πρὸς αὐτοὺς, ὡμίλει ὁ Θεὸς, ἵνα καὶ προστάττων λαλῇ; Εἰ μὲν οὖν τοῖς γιγνομένοις προσέταττε καὶ ὡμίλει, περιττὸς ἦν ὁ λόγος· οὔπω γὰρ ἦν, ἀλλ' ἔμελλε γίγνεσθαι· οὐδεὶς δὲ τῷ μὴ ὄντι λαλεῖ, οὐδὲ εἰς τὸ γενέσθαι τῷ μηδέπω γενομένῳ προστάττει καὶ λαλεῖ. Εἰ γὰρ τοῖς ἐσομένοις προσέταττεν ὁ Θεὸς, ἔδει λέγειν αὐτὸν, γενοῦ οὐρανὲ, καὶ γενοῦ γῆ, καὶ ἔξελθε βοτάνη, καὶ ποιήθητι ἄνθρωπε· νῦν δὲ
Gen. i. 26. τοῦτο μὲν οὐκ ἐποίησε· προστάττει δὲ λέγων· "Ποιήσωμεν "ἄνθρωπον," καὶ "Ἐξελθέτω βοτάνη." Ἀφ' ὧν δείκνυται ὁ Θεὸς ὡς πλησίον τινὶ διαλεγόμενος περὶ τούτων· οὐκοῦν ἀνάγκη συνεῖναί τινα τούτῳ, ᾧ καὶ ὁμιλῶν ἐποίει τὰ ὅλα. Τίς οὖν ἂν εἴη εἰ μὴ ὁ τούτου Λόγος; Τίνι γὰρ ἄν τις φαίη Θεὸν ὁμιλεῖν, ἢ τῷ ἑαυτοῦ Λόγῳ; Ἢ τίς τούτῳ συνῆν ποιοῦντι τὴν γενητὴν πᾶσαν οὐσίαν, ἢ
Prov. viii. 27. ἡ τούτου Σοφία, ἡ λέγουσα· "Ἡνίκα ἐποίει τὸν οὐρανὸν "καὶ τὴν γῆν, συμπαρήμην αὐτῷ·" ἐν δὲ τῇ οὐρανοῦ καὶ γῆς ὀνομασίᾳ, πάντα τὰ ἐν οὐρανῷ καὶ γῇ γενητὰ συμπεριλαμβάνει. Συνὼν δὲ ὡς Σοφία, καὶ ὡς Λόγος, τὸν Πατέρα βλέπων ἐδημιούργει τὸ πᾶν, καὶ συνίστη, καὶ διεκόσμει· καὶ Δύναμις δὲ ὢν τοῦ Πατρὸς, τὰ ὅλα εἰς τὸ
Joan. v. 19. εἶναι ἰσχυροποίει· ᾗ φησὶ καὶ ὁ Σωτὴρ, "Πάντα ὅσα "βλέπω τὸν Πατέρα ποιοῦντα, κἀγὼ ὁμοίως ποιῶ," καὶ
Rom. xi. 36. "Δι' αὐτοῦ" δὲ "καὶ εἰς αὐτὸν τὰ πάντα" γεγονέναι οἱ ἱεροὶ τούτου διδάσκουσι μαθηταί. Καὶ ὅτι ἀγαθὸν ἐξ ἀγαθοῦ γέννημα, καὶ ἀληθινὸς Υἱὸς ὑπάρχων, Δύναμίς ἐστι τοῦ Πατρὸς, καὶ Σοφία, καὶ Λόγος, οὐ κατὰ μετοχὴν ταῦτα ὢν, οὐδὲ ἔξωθεν ἐπιγινομένων τούτων αὐτῷ κατὰ τοὺς αὐτοῦ μετέχοντας καὶ σοφιζομένους δι' αὐτοῦ, καὶ

53. Συνὼν] Distinximus uti Latine redditur ap. Ben. neque enim sensum æque commodum præbet *συνὼν δὲ ὡς Σοφία, καὶ ὡς Λόγος τὸν Πατέρα βλέπων, ἐδημιούργει κ. τ. λ.* Λόγος nempe, ubi sapientiæ opponitur, nullam *videndi* significationem habet, contra vero Filium in ipsa creandi opera Patris Essentiam ac voluntatem respexisse, omnium fere catholicorum est sententia.

56. *πάντα ὅσα*] Hæc sensu, non verbis ipsis, apud Evangelistam leguntur.

60. Υἱὸς] Bodl. Θεὸς.

δυνατοὺς καὶ λογικοὺς ἐν αὐτῷ γινομένους, ἀλλ' Αὐτοσοφία, Αὐτολόγος, Αὐτοδύναμις ἰδία τοῦ Πατρός ἐστιν, Αὐτοφῶς, Αὐτοαλήθεια, Αὐτοδικαιοσύνη, Αὐτοαρετὴ, καὶ μὴν καὶ Χαρακτὴρ καὶ Ἀπαύγασμα καὶ Εἰκών. Καὶ συνελόντι φράσαι, Καρπὸς παντέλειος τοῦ Πατρὸς ὑπάρχει, καὶ μόνος ἐστὶν Υἱὸς, Εἰκὼν ἀπαράλλακτος τοῦ Πατρός.

XLVII. Τίς οὖν ἂν, τίς ἐξαριθμήσειε τὸν Πατέρα, ἵνα καὶ τοῦ Λόγου τούτου τὰς δυνάμεις ἐξεύροι; Ἔστι γὰρ ὥσπερ τοῦ Πατρὸς Λόγος καὶ Σοφία, οὕτω καὶ τοῖς γενητοῖς συγκαταβαίνων, γίνεται πρὸς τὴν τοῦ Γεννήτορος γνῶσιν καὶ ἔννοιαν Αὐτοαγιασμὸς καὶ Αὐτοζωὴ, καὶ Θύρα, καὶ Ποιμὴν, καὶ Ὁδὸς, καὶ Βασιλεὺς, καὶ Ἡγεμὼν, καὶ ἐπὶ πᾶσι Σωτὴρ, καὶ Ζωοποιὸς καὶ Φῶς, καὶ πρόνοια τῶν πάντων. Τοιοῦτον ἄρα ἀγαθὸν καὶ δημιουργὸν υἱὸν ἔχων ἐξ ἑαυτοῦ ὁ Πατὴρ, οὐκ ἀφανῆ αὐτὸν τοῖς γενητοῖς ἀπέκρυψεν· ἀλλὰ καὶ ὁσημέραι τοῦτον ἀποκαλύπτει τοῖς πᾶσι διὰ τῆς τῶν πάντων δι' αὐτοῦ συστάσεως καὶ ζωῆς. Ἐν αὐτῷ δὲ καὶ δι' αὐτοῦ, καὶ ἑαυτὸν ἐμφαίνει, καθὼς ὁ Σωτήρ φησιν, "Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί." Joan. xiv. 10.
Ὥστε ἐξ ἀνάγκης εἶναι τὸν Λόγον ἐν τῷ γεννήσαντι, καὶ τὸν γεννηθέντα σὺν τῷ Πατρὶ διαιωνίζειν. Τούτων δὲ οὕτως ἐχόντων, καὶ οὐδενὸς ἔξωθεν αὐτοῦ τυγχάνοντος, ἀλλὰ καὶ οὐρανοῦ καὶ γῆς, καὶ πάντων τῶν ἐν αὐτοῖς ἐξηρτημένων αὐτοῦ, ὅμως ἄνθρωποι παράφρονες παραγκωνισάμενοι τὴν πρὸς τοῦτον γνῶσιν καὶ εὐσέβειαν, τὰ οὐκ ὄντα πρὸ τῶν ὄντων ἐτίμησαν· καὶ ἀντὶ τοῦ ὄντως ὄντος Θεοῦ, τὰ μὴ ὄντα ἐθεοποίησαν, "τῇ κτίσει παρὰ τὸν κτίσαντα" λατρεύοντες, Rom. i. 25.

64. Αὐτοσοφία] Quæ sequuntur cave intelligas sensu aliquo ex meris Philosophiæ humanæ rationibus petito. Vere de istiusmodi theoriis Aristoteles "Ἀπορήσειε δ' ἄν τις τί ποτε καὶ βούλονται λέγειν τὸ αὐτοέκαστον." (Eth. i. 6.) Quod tamen Platoni vix jure objici potest, nec jure Aristoteles objiciebat. Erat enim ἀπορία ista Gentium hæreditas, quæ a Deo alienatæ erga omnium rerum veritatem cæcutiebant. Ideæ autem rerum, quas Philosophia indagatur, non ipsum sunt Dei Verbum, sed formæ quædam intellectuales in Dei Verbo positæ, e Cujus Natura ita pendent ut Ipse omnium Fons et Origo habeatur tum idearum tum etiam rerum actu existentium. Ipse tamen per eas cognosci nequit, quæ potius per Dei notitiam sunt intelligendæ.

XLVII. 4. Γεννήτορος] Ita Bodl. Ben. Γενήτορος. fort. γενέτορος.

πρᾶγμα πάσχοντες ἀνόητον καὶ δυσσεβές. Ὅμοιον γὰρ εἴ τις τὰ ἔργα πρὸ τοῦ τεχνίτου θαυμάσειε, καὶ τὰ ἐν τῇ πόλει δημιουργήματα καταπλαγεὶς, τὸν τούτων δημιουργὸν καταπατοίη· ἢ ὡς εἴ τις τὸ μὲν μουσικὸν ὄργανον ἐπαινοίη, τὸν δὲ συνθέντα καὶ ἁρμοσάμενον ἐκβάλλοι. Ἄφρονες καὶ πολὺ τὸν ὀφθαλμὸν πεπηρωμένοι. Πῶς γὰρ ἂν ἔγνωσαν ἄλλως οἰκοδομὴν, ἢ ναῦν, ἢ λύραν, μὴ οὐχὶ τοῦ ναυπηγοῦ ἐργασαμένου, καὶ τοῦ ἀρχιτέκτονος οἰκοδομήσαντος, καὶ τοῦ μουσικοῦ συνθέντος; Ὥσπερ οὖν ὁ ταῦτα λογιζόμενος μαίνεται, καὶ ὑπερεπέκεινα πάσης μανίας ἐστὶν, οὕτως οὔ μοι δοκοῦσιν ὑγιαίνειν τὴν διάνοιαν οἱ τὸν Θεὸν μὴ ἐπιγινώσκοντες, καὶ τὸν τούτου Λόγον μὴ θρησκεύοντες, τὸν Σωτῆρα τὸν πάντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δι' οὗ τὰ πάντα ὁ Πατὴρ διακοσμεῖ, καὶ συνέχει, καὶ προνοεῖται τῶν ὅλων· εἰς ὃν σὺ τὴν πίστιν ἔχων καὶ τὸ θεοσεβὲς, ὦ φιλόχριστε, χαῖρε καὶ εὔελπις γίνου, ὅτι τῆς εἰς αὐτὸν πίστεως καὶ εὐσεβείας ἀθανασία καὶ βασιλεία οὐρανῶν ἐστὶν ὁ καρπὸς, μόνον ἐὰν κατὰ τοὺς αὐτοῦ νόμους ἡ ψυχὴ κεκοσμημένη γένηται. Ὥσπερ γὰρ τοῖς κατ' αὐτὸν πολιτευομένοις ἐστὶ τὸ ἔπαθλον ζωὴ αἰώνιος· οὕτω τοῖς τὴν ἐναντίαν καὶ μὴ τὴν τῆς ἀρετῆς ἀτραπὸν ὁδεύουσιν, αἰσχύνη μεγάλη καὶ κίνδυνος ἀσύγγνωστος ἐν ἡμέρᾳ κρίσεως, ὅτι καίτοι γνόντες τὴν τῆς ἀληθείας ὁδὸν, ἐναντία ὧν ἔγνωσαν ἔπραξαν.

34. τὸν Κύριον] Observandum est in hoc opere minime agi de doctrina Christiana accurate tradendâ, sed potius de prima illa quæstione, an Deus verus sit Christianorum Deus. Qua re ita confirmata ut Deum Verbi Patrem pro summo ac vero Deo habendum appareat, tum demum auctor ad Incarnationis mysterium libro altero proponendum accedit, quem secundæ hujus operis parti reservavimus.



